Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-575937-p0001-8

Maa. 1.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-575937-p0002-4

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-575937-p0003-9

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-575937-p0004-5

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-575937-p0005-1

In hoc volumine continetur.

1. S. Ignatii Martyris Epistolae genuinae ex Bibl. Voss. Florentina, itemq. suppositiae, ad haec S. Barnabae Epistola.
2. Schediasma Histor. de Apophtegmate S. Ignatii. Amor meus crucifixus est. M. E. Tenzelii.
3. Ejusd. Tenzelii Epistola grat. ad Par. in qua Vindiciae Apophthegm.
4. Basilii M. Orat. 2. de Jejunio, et Homilia c̃a Ebrios.
5. Rechenbergii Diss. de veterũ Christianorum δοξολογία
6. Tenzelii de Hymno: Te Deum laudamus.
7. Antonii de N. T. Philosophismis.
8. Rechenberg de ταρταρώσει malorũ angelorum.
9. Wedelii de Vnguento Nardino.
10. Rechenbergii de Ilia Homeri.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

# ΒΑΣΙΛΕΙΟΥ

Ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας

# ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ

λόγοι β.

# S. BASILII MAGNI

*ORATIONES DUÆ*

*De*

# IEIUNIO.

Τοῦ αὐτοῦ

## ΚΑΤΑ ΜΕΘΥΟΝΤΩΝ

ΟΜΙΛΙΑ.

*EIUSDEM*

## CONTRA EBRIOSOS

Homilia.

HELMAESTADI
Ex Officina JACOBI LUCII, Typogr. acad.
Anno cIↄ Iↄ c XXXIX.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-575937-p0007-2

# ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ

## λόγος α.

ΣΑΛΠΙΣΑΤΕ, φησιν, ἐν νεομηνίαις σάλπιγγι, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ὑμῶν. τοῦτο πρόσταγμα ἐστὶ προφητικόν. ἡμῖν δὲ πάσης σάλπιγγος μεγαλοφωνότερον, καὶ παντὸς ὀργάνου μουσικοῦ εὐσημότερον, τὴν προάγουσαν τῶν ἡμερῶν ἑορτὴν ὑποσημαίνει τὰ ἀναγνώσματα. ἐγνωρίσαμεν γὰρ τῶν νηστειῶν τὴν χάριν ἐκ τοῦ Ἡσαΐου, τὸν μὲν Ἰουδαϊκὸν τῆς νηστείας τρόπον παρωσαμένου, τὴν δὲ ἀληθῆ νηστείαν ἡμῖν ὑποδείξαντος. Μὴ εἰς κρίσεις καὶ μάχας νηστεύετε, ἀλλὰ λύε πάντα σύνδεσμον ἀδικίας. Καὶ ὁ κύριος, Μὴ γίνεσθε σκυθρωποὶ, ἀλλὰ νίψαι σου τὸ πρόσωπον. Διατεθῶμεν τοίνυν ὡς ἐδιδάχθημεν, μὴ κατασκυθρωπάζοντες ἐπὶ ταῖς προσιούσαις ἡμέραις, ἀλλὰ φαιδρῶς πρὸς αὐτὰς ὡς πρέπει ἁγίοις διατιθέμενοι. Οὐδεὶς ἀθυμῶν στεφανοῦται. Οὐδεὶς συγνάζων τρόπαιον ἵστησι. μὴ σκυθρωπάσῃς θεραπευόμενος. ἄτοπον μὴ χαίρειν ἐπὶ ὑγείᾳ ψυχῆς, ἀλλὰ λυπεῖσθαι ἐπὶ βρωμάτων ὑπαλλαγῇ, καὶ πλείονα χάριν φαίνεσθαι διδόντας ἡδονῇ γαστρὸς, ἢ ἐπιμελείᾳ ψυχῆς. κόρος μὲν γὰρ, εἰς γαστέρα τὴν χάριν ἵστησι, νηστεία δὲ πρὸς ψυχὴν ἀναβιβάζει τὸ κέρδος. εὐθύμησον ὅτι σοι δέδοται παρὰ τοῦ ἰατροῦ φάρμακον, ἁμαρτίας ἀναιρετικόν. ὥσπερ γὰρ οἱ ἐν τοῖς ἐγκάτοις τῶν παίδων ζωογονούμενοι σκώληκες φαρμάκοις τισὶ δριμυτάτοις ἐξαφανίζονται, οὕτως ἁμαρτίαν ὑποικουροῦσαν τῷ βάθει ἐναποκτείνει τῇ ψυχῇ ἐπεισελθοῦσα νηστεία, ἥγε ὡς ἀληθῶς τῆς προσηγορίας ταύτης ἀξία. ἄλειψαί σου τὴν κεφαλὴν, καὶ νίψαι τὸ πρόσωπον. Ἐπὶ μυστήρια σε καλεῖ ὁ λόγος. ὁ ἀλειψάμενος ἐχρίσατο. ὁ νιψάμενος, ἀπεπλύνατο. Ἐπὶ τὰ ἔνδον λάμβανε τῶν μελῶν τὴν νομοθεσίαν. ἀπόπλυνε τὴν ψυχὴν ἁμαρτημάτων, χρί-

σαι τὴν κεφαλὴν χρίσματι ἁγίῳ, ἵνα μέτοχος γένῃ Χριστοῦ, καὶ οὕτω
πρόσελθε τῇ νηστείᾳ. μὴ ἀφανίσῃς τὸ πρόσωπόν σου ὥσπερ οἱ ὑποκρι-
ταί. ἀφανίζεται πρόσωπον, ὅταν ἡ ἔνδον διάθεσις ἐπιπλάστῳ σχήμα-
τι τῷ ἔξωθεν ἐπισκοτῆται, ὥσπερ ὑπὸ παραπετάσματι τῷ ψεύδει κα-
λυπτομένη. ὑποκριτής ἐστιν, ὁ ἐν θεάτρῳ ἀλλότριον πρόσωπον
ὑπελθών, δοῦλος ὤν, πολλάκις τὸ τοῦ δεσπότου, καὶ ἰδιώτης, τὸ τοῦ βα-
σιλέως. οὕτω καὶ ἐν τῷ βίῳ τούτῳ ὥσπερ ἐπὶ ὀρχήστρας τῆς ἑαυτῶν ζωῆς,
οἱ πολλοὶ θεατρίζουσιν, ἄλλα μὲν ἐν τῇ καρδίᾳ φέροντες, ἄλλα δὲ ἐν
τῇ ἐπιφανείᾳ τοῖς ἀνθρώποις δεικνύντες. μὴ ἀφάνιζε οὖν τὸ πρόσω-
πον, οἷος εἶ, τοιοῦτος φαίνου, μὴ κατασχηματίζων σεαυτὸν πρὸς τὸ σκυ-
θρωπόν, τὴν ἐκ τοῦ δοκεῖν ἐγκρατὴς εἶναι δόξαν θηρώμενος. οὔτε γὰρ
εὐποιΐας σαλπιζομένης ὄφελος, καὶ νηστείας δημοσιευομένης κέρ-
δος οὐδέν. τὰ γὰρ ἐπιδεικτικῶς γινόμενα, οὐ πρὸς τὸν αἰῶνα τὸν μέλλον-
τα τὸν καρπὸν ἐκτείνει, ἀλλ᾽ εἰς τὸν τῶν ἀνθρώπων ἔπαινον καταστρέφει.
πρόσδραμε τοίνυν φαιδρῶς τῇ δωρεᾷ τῆς νηστείας. ἀρχαῖον δῶρον ἡ
νηστεία, οὐ παλαιούμενον καὶ γηράσκον, ἀλλ᾽ ἀνανεούμενον ἀεὶ καὶ εἰς
ἀκμὴν ἐπανθοῦν. οἴει με τὴν ἀρχαιογονίαν αὐτῆς, ἀπὸ τοῦ νόμου τί-
θεσθαι; καὶ νόμου πρεσβυτέρα νηστεία. ἐὰν μικρὸν ἀναμείνῃς, εὑρήσεις
τοῦ λόγου τὴν ἀλήθειαν. μὴ οἴου τὴν ἡμέραν τοῦ ἱλασμοῦ τὴν διατεταγμέ-
νην τῷ Ἰσραὴλ τῷ ἑβδόμῳ μηνὶ τῇ δεκάτῃ ἡμέρᾳ τοῦ μηνός, ταύτην εἶ-
ναι τῆς νηστείας ἀρχήν. δεῦρο δὴ διὰ τῆς ἱστορίας βαδίζων ἀνερεύνη-
σον τὴν ἀρχαιογονίαν αὐτῆς. οὐ γὰρ νεώτερον τὸ ἐφεύρημα. πατέρων
ἐστὶ τὸ κειμήλιον. πᾶν τὸ ἀρχαιότητι διαφέρον, αἰδέσιμον. δυσωπή-
θητι τὴν πολιὰν τῆς νηστείας. ἡλικιῶτίς ἐστι τῆς ἀνθρωπότητος. νη-
στεία ἐν τῷ παραδείσῳ ἐνομοθετήθη. τὴν πρώτην ἐντολὴν ἔλαβεν Ἀ-
δάμ, Ἀπὸ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε. τὸ δὲ
οὐ φάγεσθε, νηστείας ἐστὶ καὶ ἐγκρατείας νομοθεσία. εἰ ἐνήστευσεν ἀπὸ
τοῦ ξύλου ἡ Εὔα, οὐκ ἂν ταύτης νῦν ἐδεόμεθα τῆς νηστείας. οὐ γὰρ χρείαν
ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες. ἐκακώθημεν διὰ
τῆς ἁμαρτίας. ἰαθῶμεν διὰ τῆς μετανοίας. μετάνοια δὲ χωρὶς νη-
στείας, ἀργή. Ἐπικατάρατος ἡ γῆ, ἀκάνθας καὶ τριβόλους ἀνατε-
λεῖ σοι. στυγνάζειν προσετάχθης, μὴ γὰρ τρυφᾶν. διὰ νηστείας ἀπο-
λόγη-

λογῆσαι τῷ θεῷ. ἀλλὰ καὶ ἡ ἐν παραδείσῳ διαγωγὴ, νηστείας ἐστὶν εἰκών. οὐ μόνον καθότι τοῖς ἀγγέλοις ὁμοδίαιτος ὢν ὁ ἄνθρωπος, διὰ τῆς ὀλιγαρκίας τὴν πρὸς αὐτοὺς ὁμοίωσιν κατώρθου, ἀλλ᾽ ὅτι καὶ ὅσα ὕστερον ἡ ἐπίνοια τῶν ἀνθρώπων ἐξεῦρεν, οὔπω τοῖς ἐν τῷ παραδείσῳ διαιτωμένοις ἐπενενόητο, οὔπω οἰνοποσίαι, οὔπω ζωοθυσίαι, οὐχ ὅσα τὸν νοῦν ἐπιθολοῖ τὸν ἀνθρώπινον. ἐπειδὴ οὐκ ἐνηστεύσαμεν, ἐξεπέσομεν τοῦ παραδείσου. νηστεύσωμεν τοίνυν, ἵνα πρὸς αὐτὸν ἐπανέλθωμεν. οὐχ ὁρᾷς τὸν Λάζαρον πῶς διὰ νηστείας εἰσῆλθεν εἰς τὸν παράδεισον; μὴ μιμήσῃ τῆς Εὔας τὴν παρακοὴν, μὴ πάλιν σύμβουλον παραδέξῃ τὸν ὄφιν, φειδοῖ τῆς σαρκὸς τὴν βρῶσιν ὑποτιθέμενον. μὴ προφασίζου ἀρρωστίαν σώματος καὶ ἀδυναμίαν. οὐ γὰρ ἐμοὶ τὰς προφάσεις, ἀλλὰ τῷ εἰδότι λέγεις. νηστεύειν οὐ δύνασαι, εἰπέ μοι; κορέννυσθαι δὲ διὰ βίου, καὶ συντρίβειν τὸ σῶμα τῷ βάρει τῶν ἐσθιομένων δύνασαι; καὶ μὴν τοῖς ἀσθενοῦσιν, οὐχὶ βρωμάτων ποικιλίαν, ἀλλ᾽ ἀσιτίαν καὶ ἔνδειαν οἶδα τοὺς ἰατροὺς ἐπιτάσσοντας. πῶς οὖν ὁ ταῦτα δυνάμενος, ἐκεῖνα προφασίζῃ μὴ δύνασθαι; τί εὐκοπώτερον τῇ γαστρί, λιτότητι διαίτης παρενεγκεῖν τὴν νύκτα, ἢ δαψιλείᾳ βρωμάτων βεβαρημένην κεῖσθαι; μᾶλλον δὲ μηδὲ κεῖσθαι, ἀλλὰ πυκνὰ μεταστρέφεσθαι διαρρηγνυμένην καὶ στένουσαν; εἰ μὴ καὶ τοὺς κυβερνήτας φήσεις βαρυνομένην τοῖς ἀγωγίμοις ὁλκάδα εὐκολώτερον σώζειν τῆς εὐσταλεστέρας καὶ κούφης. τὴν μὲν γὰρ πεπιεσμένην τῷ πλήθει, βραχεῖα κύματος ἐπανάστασις κατεβάπτισεν. ἡ δὲ συμμέτρως τῶν ἀγωγίμων ἔχουσα, ῥαδίως ὑπεραίρει τοῦ κλύδωνος, οὐδενὸς ἐμποδίζοντος αὐτὴν ὑψηλοτέραν γενέσθαι. Καὶ τοίνυν τὰ τῶν ἀνθρώπων σώματα, συνεχεῖ μὲν τῷ κόρῳ καταβαρυνόμενα, εὐκόλως ὑποβρύχια ταῖς ἀρρωστίαις γίνεται. εὐσταλεῖ δὲ καὶ κούφῃ τῇ τροφῇ κεχρημένα, καὶ τὸ προσδοκώμενον ἐκ νόσου κακὸν ὥσπερ χειμῶνος ἐπανάστασιν ὑπεξέφυγε, καὶ τὸ ἤδη παρὸν ὀχληρὸν ὥσπερ τινὸς σπιλάδος ἐπιδρομὴν διεκρούσατο. ἤπου καὶ τὸ ἡσυχάζειν κατὰ σε, τοῦ τρέχειν ἐπιπονώτερον, καὶ τοῦ παλαίειν τὸ ἠρεμεῖν; εἴπερ ἂν καὶ τὸ τρυφᾶν τοῦ λιτῶς διαιτᾶσθαι τοῖς ἀσθενοῦσι φὴς εἶναι καταλληλότερον. ἡ γὰρ οἰκονομοῦσα τὸ ζῶον δύναμις, αὐτάρκειαν μὲν καὶ λιτότητα ῥαδίως κατειργάσατο, ἢ ᾠκείωσε τῷ

τρεφομένῳ. πολυτέλειαν δὲ καὶ ποικιλίαν βρωμάτων παραλαβοῦσα, εἶτα ἀμηχανεῖν πρὸς τὸ μέρος οὐκ ἐξαρκέσασα, τὰ ποικίλα γένη τῶν νοσημάτων ἐποίησεν. ἀλλ' ἐπὶ τὴν ἱστορίαν βαδιζέτω ὁ λόγος, τὸ ἀρχαῖον τῆς νηστείας διεξιών, καὶ ὅπως πάντες οἱ ἅγιοι ὥσπερ τινὰ κλῆρον πατρῷον διαδεξάμενοι οὕτω διεφύλαξαν, πατὴρ παιδὶ παραδιδόντες. Ὅθεν καὶ εἰς ἡμᾶς ἀκολουθίᾳ διαδοχῆς, διεσώθη τὸ κτῆμα. οὐκ ἦν ἐν τῷ παραδείσῳ οἶνος. οὔπω ζωοθυσία, οὔπω κρεοφαγία. μετὰ τὸν κατακλυσμὸν οἶνος. μετὰ τὸν κατακλυσμὸν φάγεσθε πάντα ὡς λάχανα χόρτου. ὅτε ἀπεγνώσθη ἡ τελείωσις, τότε συνεχωρήθη ἡ ἀπόλαυσις. δεῖγμα δὲ τῆς τοῦ οἴνου ἀπειρίας, Νῶε, ἀγνοῶν τοῦ οἴνου τὴν χρῆσιν. οὔπω γὰρ εἰς τὸν βίον παρεληλύθει, οὐδ' ἐπέτριπτο ἐν τῇ συνηθείᾳ τῇ τῶν ἀνθρώπων. οὔτε οὖν ἄλλον τεθεαμένος, οὔτε αὐτὸς πειραθείς, τῇ ἀπ' αὐτοῦ βλάβῃ περιέπεσεν ἀφυλάκτως. ἐφύτευσε γὰρ ἄμπελον Νῶε, καὶ ἔπιεν ἀπὸ τοῦ καρποῦ καὶ ἐμεθύσθη, οὐχὶ τῷ πάροινος εἶναι, ἀλλὰ τῷ ἄπειρος εἶναι τῶν μέτρων τῆς μεταλήψεως. οὕτω νεώτερον παραδείσου τὸ εὕρημα τῆς οἰνοποσίας. καὶ οὕτως ἀρχαῖον, τὸ τῆς νηστείας σεμνόν. ἀλλὰ καὶ Μωσέα διὰ νηστείας ἔγνωμεν προσβαλόντα τῷ ὄρει. οὐ γὰρ ἂν κατετόλμησε καπνιζομένης τῆς κορυφῆς, οὐδ' ἂν ἐθάρσησεν εἰσελθεῖν εἰς τὸν γνόφον, εἰ μὴ νηστείᾳ καθώπλιστο. διὰ νηστείας τὴν ἐντολὴν ὑπεδέξατο, δακτύλῳ θεοῦ γραφεῖσαν ἐν ταῖς πλαξί. καὶ ἄνω μὲν ἡ νηστεία, νομοθεσίας πρόξενος ἦν. κάτω δὲ ἡ γαστριμαργία, εἰς εἰδωλολατρείαν ἐξέμηνεν. ἐκάθησε γὰρ ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν. τεσσαράκοντα ἡμερῶν προσεδρείαν νηστεύοντος καὶ δεομένου τοῦ θεράποντος, ἄχρηστον ἀπέδειξεν οἰνοφλυγία μία. ἃς γὰρ ἡ νηστεία ἔλαβε πλάκας δακτύλῳ θεοῦ γεγραμμένας, ταύτας ἡ μέθη συνέτριψεν, οὐκ ἄξιον κρίνασα τοῦ προφήτου, μεθύοντα λαὸν νομοθετεῖσθαι παρὰ τοῦ θεοῦ. ἐν μιᾷ καιροῦ ῥοπῇ διὰ γαστριμαργίας ὁ λαὸς ἐκεῖνος, ὁ τὸν θεὸν διὰ τῶν μεγίστων τεραστίων δεδιδαγμένος, εἰς τὴν Αἰγυπτίων εἰδωλομανίαν ἐξεκυλίσθη. παράλληλα θεὶς ἀμφότερα, πῶς νηστεία θεῷ προσάγει, καὶ πῶς τρυφὴ τὴν σωτηρίαν προδίδωσι. κατάβα ὁδῷ βαδίζων ἐπὶ τὰ κάτω. τί τὸν Ἠσαῦ ἐβεβήλωσε καὶ δοῦλον ἐποίησε τοῦ ἀδελφοῦ; οὐ βρῶσις μία

σις μία δι' ἣν ἀπέδοτο τὰ πρωτοτόκια; τὸν δὲ Σαμουὴλ οὐχὶ μετὰ νηστείας προσευχὴ ἐχαρίσατο τῇ μητρί; τί τὸν μέγαν ἀριστέα τὸν Σαμψὼν ἀκαταγώνιστον ἀπειργάσατο; οὐχὶ νηστεία, μεθ' ἧς ἐν τῇ γαστρὶ τῆς μητρὸς συνελήφθη; νηστεία αὐτὸν ἐκύησε, νηστεία αὐτὸν ἐτιθηνήσατο, νηστεία ἤνδρωσεν, ἣν ὁ ἄγγελος διετάξατο τῇ μητρί. Ὅσα ἐκπορεύεται ἐξ ἀμπέλου, οὐ μὴ φάγῃ, καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ. νηστεία προφήτας γεννᾷ, δυνατοὺς ῥώννυσι. νηστεία νομοθέτας σοφίζει, ψυχῆς ἀγαθὸν φυλακτήριον, σώματι σύνοικος ἀσφαλής, ὅπλον ἀριστεύουσιν, ἀθληταῖς γυμνάσιον. αὕτη πειρασμοὺς ἀποκρούεται, αὕτη ἀλείφει πρὸς εὐσέβειαν. νήψεως σύνοικος, σωφροσύνης δημιουργός, ἐν πολέμοις ἀνδραγαθεῖ, ἐν εἰρήνῃ ἡσυχίαν διδάσκει, τὸν ναζιραῖον ἁγιάζει, τὸν ἱερέα τελειοῖ. οὐ γὰρ δυνατὸν ἄνευ νηστείας, ἱερουργίας κατατολμῆσαι, οὐ μόνον ἐν τῇ μυστικῇ νῦν καὶ ἀληθινῇ λατρείᾳ, ἀλλὰ καὶ ἐν τῇ τυπικῇ τῇ κατὰ τὸν νόμον προσαγομένῃ. αὕτη θεατὴν ἐποίησε τοῦ μεγάλου θαύματος τὸν Ἠλίαν. τεσσαράκοντα γὰρ ἡμέραις νηστείᾳ τὴν ψυχὴν ἀποκαθάρας, οὕτως ἐν τῷ σπηλαίῳ τῷ ἐν Χωρὴβ ἰδεῖν κατηξιώθη ὡς δυνατόν ἐστιν ἰδεῖν ἀνθρώπῳ τὸν κύριον. νηστεύων ἀπέδωκε τῇ χήρᾳ τὸν παῖδα, ἰσχυρὸς φανεὶς κατὰ τοῦ θανάτου διὰ νηστείας. ἀπὸ νηστεύοντος στόματος φωνὴ ἐξελθοῦσα, ἀπέκλεισε τῷ παρανομοῦντι λαῷ τὸν οὐρανὸν τρία ἔτη καὶ μῆνας ἕξ. ἵνα γὰρ μαλάξῃ τὴν ἀδάμαστον καρδίαν τῶν σκληροτραχήλων, εἵλετο καὶ ἑαυτὸν τῇ κακοπαθείᾳ συγκαταδικάσαι. διὰ τοῦτο ζῇ κύριος, ἔφη, εἰ ἔσται ὕδωρ ἐπὶ τῆς γῆς, εἰ μὴ διὰ στόματός μου. καὶ ἐπήγαγε παντὶ τῷ λαῷ νηστείαν διὰ τοῦ λιμοῦ, ὥστε τὴν ἐκ τῆς τρυφῆς καὶ τοῦ ἀνειμένου βίου κακίαν ἐπανορθώσασθαι. Ἐλισσαίῳ δὲ ποταπὸς ὁ βίος; Πῶς μὲν παρὰ τῇ Σουναμίτιδι τῆς ξενίας ἀπέλαυσε; πῶς δὲ αὐτὸς τοὺς προφήτας ἐδεξιοῦτο; οὐχὶ λάχανα ἄγρια καὶ ἄλευρον βραχὺ τὴν φιλοξενίαν ἐπλήρου; ὅτε καὶ τῆς τολύπης συμπαραληφθείσης κινδυνεύειν ἔμελλον οἱ ἀψάμενοι, εἰ μὴ τῇ εὐχῇ τοῦ νηστεύοντος ἠμαυρώθη τὸ δηλητήριον. καὶ ἁπαξαπλῶς. εὕροις ἂν τὴν νηστείαν πάντας τοὺς ἁγίους εἰς τὴν κατὰ θεὸν πολιτείαν χειραγωγήσασαν. ἔστι τις φύσις σώματος, ἣν καλοῦσιν ἀμίαντον, ἀνάλωτος πυρὶ ἥτις, ἐν μέσῃ τῇ φλογὶ κειμένη, ἀπηνθρακῶσθαι

δοκεῖ

δοκεῖ, ἐξαιρεθεῖσα δὲ τοῦ πυρὸς, ὡς ὕδατι λαμπρυνθεῖσα καθαρωτέ-
ρα γίνεται. τοιαῦτα ἦν τὰ τῶν τριῶν παίδων ἐκείνων σώματα ἐπὶ τῆς
Βαβυλωνίας, ἐκ τῆς νηστείας ἔχοντα τὸ ἀμίαντον. ἐν γὰρ τῇ μεγάλῃ
φλογὶ τῆς καμίνου, οἱονεὶ χρυσοῖ τὴν φύσιν ὄντες, οὕτω κρείττους τῆς ἀπὸ
τοῦ πυρὸς διεδείκνυντο βλάβης. ἧπερ καὶ χρυσοῦ δυνατώτεροι διε-
δείκνυντο. οὐ γὰρ ἐχώνευεν αὐτοὺς τὸ πῦρ, ἀλλ' ἐφύλασσεν ἀκεραίους.
καίτοι, οὐδὲν ἂν ἐκείνην τότε τὴν φλόγα ὑπέστη, ἣν νάφθα καὶ πίσσα
καὶ κληματίδες ἔτρεφον, ὡς ἐπὶ τεσσαράκοντα ἐννέα πήχεις αὐτὴν
διαχεῖσθαι, καὶ τὰ κύκλῳ αὐτῆς ἐπινεμομένην, πολλοὺς τῶν Χαλδαίων
ἐξαναλῶσαι. ἐκείνην τοίνυν τὴν πυρκαϊὰν, μετὰ νηστείας εἰσελθόντες
κατεπάτουν οἱ παῖδες, λεπτὸν ἀέρα καὶ ἔνδροσον ἐν οὕτω λάβρῳ πυ-
ρὶ ἀναπνέοντες. οὐδὲ γὰρ τῶν τριχῶν τὸ πῦρ κατετόλμησε, διὰ τὸ ὑπὸ
νηστείας αὐτὰς ἐκτραφῆναι. Δανιὴλ δὲ ὁ ἀνὴρ τῶν ἐπιθυμιῶν, ὁ τρεῖς
ἑβδομάδας ἄρτον μὴ φαγὼν, καὶ ὕδωρ μὴ πιὼν, καὶ τοὺς λέοντας νη-
στεύειν ἐδίδαξε, κατελθὼν εἰς τὸν λάκκον. ὥσπερ γὰρ ἐκ λίθου ἢ χαλ-
κοῦ, ἢ ἄλλης στερροτέρας τινὸς ὕλης συμπεπηγότι, ἐμβαλεῖν οὐκ εἶχον
τοὺς ὀδόντας οἱ λέοντες, οὕτως οἱονεὶ βαφὴ σιδήρου τὸ σῶμα τοῦ ἀνδρὸς
ἡ νηστεία στομώσασα, ἀδάμαστον ἐποίει τοῖς λέουσιν. οὐ γὰρ ἤνοιγον κατὰ τοῦ
ἁγίου τὸ στόμα. νηστεία ἔσβεσε δύναμιν πυρὸς, ἔφραξε στόματα λεόν-
των. νηστεία προσευχὴν εἰς οὐρανὸν ἀναπέμπει, οἱονεὶ πτερὸν αὐτῇ
γινομένη πρὸς τὴν ἄνω πορείαν. νηστεία, οἴκων αὔξησις, ὑγείας μήτηρ,
νεότητος παιδαγωγὸς, κόσμος πρεσβύταις, ἀγαθὴ συνέμπο-
ρος ὁδοιπόροις, ἀσφαλὴς ὁμόσκηνος τοῖς συνοίκοις. οὐχ ὑπο-
πτεύει γάμων ἐπιβουλὴν ὁ ἀνὴρ, νηστείᾳ ὁρῶν τὴν γυναῖκα συζῶσαν. οὐ
τήκεται ζηλοτυπίαις γυνὴ, τὸν ἄνδρα βλέπουσα νηστείαν καταδεχό-
μενον. τίς τὸν ἑαυτοῦ οἶκον ἠλάττωσεν ἐν νηστείᾳ; ἀρίθμησον σήμερον τὰ
ἔνδον, καὶ ἀρίθμησον μετὰ ταῦτα, οὐδὲν διὰ τὴν νηστείαν λείψει τῶν ἐν τῷ
οἴκῳ. οὐδὲν ζῶον ὀδύρεται θάνατον, οὐδαμοῦ αἷμα, οὐδαμοῦ ἀπόφασις,
παρὰ τῆς ἀπαραιτήτου γαστρὸς ἐκφερομένη κατὰ τῶν ζώων, πέπαυται μα-
γείρων μάχαιρα, ἡ τράπεζα ἀρκεῖται τοῖς αὐτομάτοις. τὸ σάββατον
ἐδόθη τοῖς Ἰουδαίοις, ἵνα ἀναπαύσηται φησὶ τὸ ὑποζύγιον, καὶ ὁ παῖς
σου. γινέσθω ἡ νηστεία ἀνάπαυσις ἐκ τῶν συνεχῶν πόνων, τοῖς διὰ τοῦ

ἐνιαυτοῦ

ἐνιαυτοῦ παντὸς ὑπηρετοῦσιν οἰκέταις, ἀνάπαυσον σου τὸν μάγειρον, δὸς ἄδειαν τῷ τραπεζοποιῷ, στῆσον τὴν χεῖρα τοῦ οἰνοχόου. παυσάσθω ποτὲ καὶ ὁ τὰς ποικιλίας τῶν πεμμάτων ἐπιτηδεύων, ἡσυχασάτω ποτὲ καὶ ὁ οἶκος ἀπὸ τῶν μυρίων θορύβων, καὶ τοῦ καπνοῦ καὶ τῆς κνίσσης, καὶ τῶν ἄνω καὶ κάτω διατρεχόντων, καὶ οἱονεὶ ἀπαραιτήτῳ δεσποίνῃ τῇ γαστρὶ λειτουργούντων. Πάντως ποτὲ καὶ οἱ φορολόγοι, τοῖς ὑποχειρίοις ἐλευθεριάσαι μικρὸν ἐπιτρέπουσι. δότω τινὰ ἐκεχειρίαν καὶ ἡ γαστὴρ τῷ στόματι, σπεισάσθω ἡμῖν πενθημέρους σπονδάς, ἡ ἀεὶ ἀπαιτοῦσα, καὶ οὐδέποτε λήγουσα, ἡ λαμβάνουσα σήμερον, καὶ αὔριον ἐπιλανθανομένη. ὅταν ἐμπλησθῇ, περὶ ἐγκρατείας φιλοσοφεῖ, ὅταν διαπνευσθῇ, ἐπιλανθάνεται τῶν δογμάτων. νηστεία, δανείου φύσιν οὐκ οἶδεν. οὐκ ὄζει τόκων τράπεζα τοῦ νηστεύοντος, οὐκ ἄγχουσιν ὀρφανὸν νηστευτοῦ παῖδα τόκοι πατρῷοι ὥσπερ ὄφεις περιπλεκόμενοι. καὶ ἄλλως δὲ ἀφορμὴ εἰς εὐφροσύνην ἐστὶ τὸ νηστεύειν. ὥσπερ γὰρ ἡ δίψα ἡδὺ τὸ ποτὸν εὐτρεπίζει, καὶ λιμὸς ἡγησάμενος ἡδεῖαν παρασκευάζει τὴν τράπεζαν, οὕτω καὶ τὴν τῶν βρωμάτων ἀπόλαυσιν νηστεία φαιδρύνει. μέσην γὰρ ἑαυτὴν παρενθεῖσα, καὶ τὸ συνεχὲς τῆς τρυφῆς διακόψασα, ποθεινήν σοι τὴν μετάληψιν φανῆναι ποιήσει ὥσπερ ἀπόδημον. ὥστε εἰ βούλει σεαυτῷ ἐπιθυμητὴν κατασκευάσαι τὴν τράπεζαν, δέξαι τὴν τῆς νηστείας μεταβολήν. σὺ δὲ ὑπὸ τοῦ σφόδρα τῆς τρυφῆς περιέχεσθαι, λέληθας σεαυτῷ ἀμαυρῶν τὴν τρυφήν, καὶ ὑπὸ φιληδονίας, τὴν ἡδονὴν ἀφανίζων. οὐδὲν γὰρ οὕτως ἐπιθυμητόν, ὡς μὴ τῇ συνεχείᾳ τῆς ἀπολαύσεως εὐκαταφρόνητον γίνεσθαι. ὧν δὲ σπανία ἡ κτῆσις, τούτων περισπούδαστος ἡ ἀπόλαυσις. οὕτω καὶ ὁ κτίσας ἡμᾶς, διὰ τῆς κατὰ τὸν βίον ἐναλλαγῆς, παραμένειν ἡμῖν τὴν χάριν τῶν δεδομένων ἐμηχανήσατο. οὐχ ὁρᾷς ὅτι καὶ ἥλιος φαιδρότερος μετὰ νύκτα; καὶ ἐγρήγορσις ἡδίων μετὰ τὸν ὕπνον; καὶ ὑγεία ποθεινοτέρα μετὰ τὴν πεῖραν τῶν ἐναντίων; καὶ τράπεζα τοίνυν χαριεστέρα μετὰ τὴν νηστείαν, ὁμοίως μὲν πλουσίοις καὶ εὐτραπέζοις, ὁμοίως δὲ τοῖς λιτοῖς, καὶ αὐτοσχεδίοις τὴν δίαιταν. φοβήθητι τὸ ὑπόδειγμα τοῦ πλουσίου. ἐκεῖνον παρέδωκε τῷ πυρὶ ἡ διὰ βίου τρυφή. οὐ γὰρ ἀδικίαν, ἀλλὰ τὸ ἁβροδίαιτον ἐγκληθείς, ἀποτηγανίζεται ἐν τῇ φλογὶ τῆς καμίνου. ἵνα

τοίνυν σβέσωμεν ἐκεῖνο τὸ πῦρ, ὕδατος χρεία. καὶ οὐ πρὸς τὰ μέλλοντα μόνον ὠφέλιμος ἡ νηστεία, ἀλλὰ καὶ αὐτῇ τῇ σαρκὶ λυσιτελεστέρα. αἱ γὰρ εἰς ἄκρον εὐεξίαι, ἀποστροφὰς ἔχουσι καὶ μεταπτώσεις ὀκλαζούσης τῆς φύσεως, καὶ ἀναφέρειν τὸ βάρος τῆς εὐεξίας ἀδυνατούσης. ὅρα μὴ νῦν διαπτύων τὸ ὕδωρ, ὕστερον ῥανίδος ἐπιθυμήσῃς ὡς καὶ ὁ πλούσιος. οὐδεὶς ἐκραιπάλησεν ἀπὸ ὕδατος. οὐδενὸς κεφαλὴ ὠδυνήθη ποτὲ ὕδατι βαρηθεῖσα. οὐδεὶς ἀλλοτρίων ποδῶν ἐδεήθη, ὑδροποσίᾳ συζῶν. οὐδενὸς ἐδέθησαν πόδες. οὐδενὸς χεῖρες ἀπηχρειώθησαν, ὕδατι κατατρεφόμεναι. τὸ γὰρ περὶ τὴν πέψιν πλημμελές, ὃ τοῖς τρυφῶσιν ἀναγκαίως ἀκολουθεῖ, τοῦτο τὰ σφοδρὰ νοσήματα τοῖς σώμασιν ἐνεργάζεται. νηστεύοντος, σεμνὸν τὸ χρῶμα, οὐκ εἰς ἐρύθημα ἀναιδὲς ἐξανθοῦν, ἀλλ᾿ ὠχρότητι σώφρονι κεκοσμημένον, ὀφθαλμὸς πρᾶος, κατεσταλμένον βάδισμα, πρόσωπον σύννουν, ἀκολάστῳ γέλωτι μὴ καθυβριζόμενον, συμμετρία λόγου, καθαρότης καρδίας. μνήσθητι τῶν ἀπ᾿ αἰῶνος ἁγίων, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος, οἳ περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι. ἐκείνων μίμησαι τὴν ἀναστροφήν, εἴπερ ἐπιζητεῖς αὐτῶν τὴν μερίδα. Τί τὸν Λάζαρον ἐνανέπαυσε τοῖς κόλποις τοῦ Ἀβραάμ; οὐχὶ νηστεία; Ἰωάννου δὲ ὁ βίος, μία νηστεία ἦν. ὃς οὐ κλίνην εἶχεν, οὐ τράπεζαν, οὐ γῆν ἀροσίμην, οὐκ ἀροτῆρα βοῦν, οὐ σῖτον, οὐ σιτοποιόν, οὐκ ἄλλο τι τῶν κατὰ τὸν βίον. διὰ τοῦτο, μείζων ἐν γεννητοῖς γυναικῶν οὐκ ἀνέστη Ἰωάννου τοῦ βαπτιστοῦ. Παῦλον μετὰ τῶν ἄλλων, καὶ ἡ νηστεία, ἣν ἐν τοῖς ὑπὲρ τῶν θλίψεων καυχήμασιν ἀπηριθμήσατο, εἰς τὸν οὐρανὸν ἀνήγαγε. κεφάλαιον δὲ ἐπὶ τοῖς εἰρημένοις, ὁ κύριος ἡμῶν νηστείᾳ τὴν σάρκα, ἣν ὑπὲρ ἡμῶν ἀνέλαβεν, ὀχυρώσας, οὕτως ἐν αὐτῇ τοῦ διαβόλου τὰς προσβολὰς ὑπεδέξατο, ἡμᾶς τε παιδεύων νηστείαις ἀλείφειν καὶ παιδοτριβεῖν ἑαυτοὺς πρὸς τοὺς ἐν τοῖς πειρασμοῖς ἀγῶνας, καὶ τῷ ἀντιπάλῳ διὰ τῆς ἐνδείας οἷον λαβὴν ἐνδιδούς. ἀπρόσιτος γὰρ ἦν αὐτῷ διὰ τὸ ὕψος τῆς θεότητος, εἰ μὴ διὰ τῆς ἐνδείας ὑπέβη πρὸς τὸ ἀνθρώπινον. ἐπανιὼν μέντοι εἰς οὐρανούς, τροφῆς ἥψατο, τὴν φύσιν τοῦ σώματος τοῦ ἀναστάντος πιστούμενος. σὺ δὲ ὑπερπιαίνων μὲν σεαυτὸν καὶ κατασαρκῶν, οὐκ ἀνίης, ἐκτήκων δὲ τὸν νοῦν ἐν ἀτροφίᾳ, τῶν σωτηρίων καὶ ζωοποιῶν διδαγμάτων οὐδένα λόγον ποιεῖς. ἢ ἀγνοεῖς, ὅτι ὥσπερ ἐπὶ παρατάξεως ἡ τοῦ ἑτέρου συμμαχία ἧτταν ποιεῖ τοῦ

ἑτέρου,

ἑτέρου, οὕτως ὁ τῇ σαρκὶ προστιθέμενος, τὸ πνεῦμα καταγωνίζεται, καὶ ὁ πρὸς
τὸ πνεῦμα μεταταξάμενος, καταδουλοῦται τὴν σάρκα. Ταῦτα γὰρ ἀλλήλοις
ἀντίκειται. ὥστε εἰ βούλει ἰσχυρὸν ποιῆσαι τὸν νοῦν, δάμαζε τὴν σάρκα διὰ νη-
στείας. Τοῦτο γάρ ἐστιν, ὅ φησιν ὁ ἀπόστολος, ὅτι ὅσον ὁ ἔξωθεν ἄνθρωπος
διαφθείρεται, τοσοῦτον ὁ ἔσωθεν ἀνακαινοῦται. καὶ τό, ὅταν ἀσθενῶ, τότε
δυνατός εἰμι. οὐ καταφρονήσεις τῶν φθειρομένων βρωμάτων, οὐκ ἐπι-
θυμίαν λήψῃ τῆς ἐν τῇ βασιλείᾳ τραπέζης, ἣν πάντως ἡ ἐνθάδε νηστεία
προευτρεπίζει; ἀγνοεῖς τῇ ἀμετρίᾳ τοῦ κόρου, παχὺν σεαυτῷ τὸν βασανι-
στὴν κατασκευάζων σκώληκα; τίς γὰρ ἐν τροφῇ δαψιλεῖ καὶ τρυφῇ διη-
νεκεῖ, ἐδέξατό τινα κοινωνίαν χαρίσματος πνευματικοῦ; Μωυσῆς δευ-
τέραν λαμβάνων νομοθεσίαν, δευτέρας νηστείας προσεδεήθη. Νινευΐ-
ται εἰ μὴ καὶ τὰ ἄλογα συνενήστευσεν, οὐκ ἂν διέφυγον τὴν ἀπειλὴν τῆς κα-
ταστροφῆς. τίνων ἔπεσε τὰ κῶλα ἐν τῇ ἐρήμῳ; οὐ τῶν κρεωφαγίαν ἐπιζη-
τούντων; ἐκεῖνοι ἕως μὲν ἠρκοῦντο τῷ μάννᾳ καὶ τῷ ἐκ τῆς πέτρας ὕδατι, αἰ-
γυπτίους ἐνίκων, διὰ θαλάσσης ὥδευον. οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ
ἀσθενῶν. ἐπειδὴ δὲ ἐμνήσθησαν τῶν κρεῶν τῶν λεβήτων, καὶ ἐστράφησαν ταῖς
ἐπιθυμίαις εἰς Αἴγυπτον, οὐκ εἶδον τὴν γῆν τῆς ἐπαγγελίας. οὐ φοβῇ τὸ ὑπό-
δειγμα; οὐ φρίσσεις τὴν ἀδηφαγίαν, μή πού σε τῶν ἐλπιζομένων ἀγαθῶν
ἀποκλείσῃ; ἀλλ' οὐδ' ἂν ὁ σοφὸς Δανιὴλ τὰς ὀπτασίας εἶδεν, εἰ μὴ νηστείᾳ
διαυγεστέραν ἐποίησε τὴν ψυχήν. ἐκ γὰρ τῆς παχείας τροφῆς, οἷον αἰθα-
λώδεις ἀναθυμιάσεις ἀναπεμπόμεναι, νεφέλης δίκην πυκνῆς, τὰς ἀπὸ
τοῦ ἁγίου πνεύματος ἐγγινομένας ἐλλάμψεις ἐπὶ τὸν νοῦν, διακόπτουσιν.
εἰ δὲ καὶ ἀγγέλων ἐστί τις τροφή, ἄρτος ἐστίν, ὥς φησιν ὁ προφήτης. ἄρτον
ἀγγέλων ἔφαγεν ἄνθρωπος. οὐ κρέα οὐδὲ οἶνος, οὐδὲ ὅσα τοῖς δούλοις
τῆς γαστρὸς διεσπούδασται. νηστεία, ὅπλον ἐστὶ πρὸς τὴν κατὰ τῶν δαιμόνων στρα-
τιάν. Τοῦτο γὰρ γένος οὐκ ἐξέρχεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. καὶ
τὰ μὲν ἐκ τῆς νηστείας ἀγαθὰ, τοσαῦτα. ὁ δὲ κόρος, ὕβρεως ἀρχή.
εὐθὺς γὰρ συνεισπίπτει τῇ τρυφῇ καὶ τῇ μέθῃ καὶ ταῖς παντοδαπαῖς
καρυκείαις, πᾶν εἶδος ἀκολασίας βοσκηματῶδες. ἔνθεν ἵπποι θηλυ-
μανεῖς οἱ ἄνθρωποι διὰ τὸν ἐκ τῆς τρυφῆς οἶστρον ἐγγινόμενον τῇ ψυχῇ.
παρὰ τῶν μεθυόντων, αἱ τῆς φύσεως ἐναλλαγαί, ἐν ἄρρενι μὲν τὸ
θῆλυ, ἐν δὲ τῷ θήλει τὸ ἄρρεν ἐπιζητούντων. νηστεία δὲ, καὶ γαμικῶν

ἔργων μέτρῳ γνωρίζει, καὶ τῶν ἐκ νόμου συγκεχωρημένων τὴν ἀμέλειαν
κολάζουσα, σύμφωνον χολὴν ἐμποιεῖ, ἵνα πεφραγμένωσι τῇ προσευχῇ.
μὴ μέντοι ἐν τῇ ἀποχῇ μόνῃ τῶν βρωμάτων, τὸ ἐκ τῆς νηστείας ἀγαθὸν ὁ-
ρίζου. νηστεία γὰρ ἀληθὴς, ἡ τῶν κακῶν ἀλλοτρίωσις. λῦε πάντα σύν-
δεσμον ἀδικίας, ἄφες τῷ πλησίον τὴν λύπην, ἄφες αὐτῷ τὰ ὀφλή-
ματα. μὴ εἰς κρίσεις καὶ μάχας νηστεύετε. κρεῶν οὐκ ἐσθίεις; ἀλλ' ἐσθίεις τὸν
ἀδελφόν. οἴνου ἀπέχῃ; ἀλλ' ὕβρεων οὐ κρατεῖς. τὴν ἑσπέραν ἀναμένεις
εἰς μετάληψιν, ἀλλὰ δαπανᾷς τὴν ἡμέραν εἰς δικαστήρια. οὐαὶ οἱ μεθύον-
τες οὐκ ἀπὸ οἴνου. θυμὸς, μέθη ἐστὶ τῆς ψυχῆς, ἔκφρονα αὐτὴν ποιῶν
ὡς ὁ οἶνος. λύπη, μέθη ἐστὶ καὶ αὐτὴ καταβαπτίζουσα τὴν διάνοιαν. φό-
βος ἑτέρα μέθη, ὅταν ἐφ' ἃ μὴ δεῖ γίνηται. ἀπὸ φόβου γάρ φησιν ἐχ-
θροῦ ἐξελοῦ τὴν ψυχήν μου. καὶ ὅλως ἕκαστον τῶν παθημάτων ἐκστατικὸν
διανοίας ὑπάρχον, μέθη ἂν δικαίως προσαγορεύοιτο. ἐννόησόν μοι
τὸν ὀργιζόμενον, ὅπως μεθύει τῷ πάθει, οὐκ ἔστιν αὐτὸς ἑαυτοῦ κύριος,
ἀγνοεῖ ἑαυτὸν, ἀγνοεῖ τοὺς παρόντας, ὥσπερ ἐν νυκτομαχίᾳ, πάντων
ἅπτεται, πᾶσι περιπίπτει, ἀταμιεύτως φθέγγεται, δυσκάθεκτός ἐστι, λοι-
δορεῖται, τύπτει, ἀπειλεῖ, διόμνυται, βοᾷ, διαρρήγνυται. φεῦγε ταύτην
τὴν μέθην, μηδὲ τὴν διὰ τοῦ οἴνου προσδέξῃ. μὴ προλάβῃς πολυ-
ποσίᾳ τὴν ὑδροποσίαν. μὴ μυσταγωγείτω σε ἐπὶ νηστείαν ἡ μέθη. οὐκ
ἔστι διὰ μέθης εἴσοδος εἰς νηστείαν, οὐδὲ γὰρ διὰ πλεονεξίας εἰς δικαιο-
σύνην, οὐδὲ δι' ἀκολασίας εἰς σωφροσύνην, οὐδὲ συλλήβδην εἰπεῖν,
διὰ τῆς κακίας εἰς ἀρετήν. ἄλλη θύρα ἐπὶ νηστείαν. μέθη εἰς ἀκολα-
σίαν εἰσάγει, ἐπὶ νηστείαν αὐτάρκεια. ὁ ἀθλῶν προγυμνάζεται, ὁ νη-
στεύων προεγκρατεύεται. μὴ ὡς ἀμυνόμενος τὰς ἡμέρας, μηδ' ὡς
κατασοφιζόμενος τὸν νομοθέτην, τῶν πέντε ἡμερῶν τὴν κραιπάλην
προαποτίθεσο. καὶ γὰρ ἀνόητα πονεῖς, τὸ μὲν σῶμα συντρίβων, μὴ πα-
ραμυθούμενος δὲ τὴν ἔνδειαν. ἄπιστόν ἐστι τὸ ταμιεῖον, εἰς τετρημένον
πίθον ἀντλεῖς. ὁ μὲν γὰρ οἶνος διαρρεῖ, τὴν ἰδίαν ὁδὸν ἀποτρέχων, ἡ
δὲ ἁμαρτία ἐναπομένει. οἰκέτης δραπετεύει δεσπότην τύπτοντα. σὺ δὲ
παραμένεις τῷ οἴνῳ, καθ' ἑκάστην ἡμέραν τὴν κεφαλήν σου τύπτον-
τι; μέτρον ἄριστον τῆς τοῦ οἴνου χρήσεως, ἡ χρεία τοῦ σώματος. ἐὰν δὲ ἔ-
ξω τῶν ὅρων γένῃ, αὔριον ἥξεις καρηβαρῶν, χασμώμενος, ἰλιγγιῶν,

σεση-

σεσηπότος οἴνου ἀπόζων. πάντα σοι περιφέρεσθαι, πάντα δονεῖσθαι δοκεῖ. μέθη γὰρ ὕπνον μὲν ἐπάγει, ἀδελφὸν θανάτου, ἐγρήγορσιν δὲ, ὀνείροις προσεοικυῖαν. ἆρα οἶδας τίς ἐστιν ὃν ὑποδέχεσθαι μέλλεις; ὁ ἐπαγγειλάμενος ἡμῖν, ὅτι ἐγὼ καὶ ὁ πατὴρ ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. Τί οὖν προλαμβάνεις τῇ μέθῃ, καὶ ἀποκλείεις τῷ δεσπότῃ τὴν εἴσοδον; τί ἐπιτρέπεις τῷ ἐχθρῷ προκαταλαβεῖν σου τὰ ὀχυρώματα; μέθη, κύριον οὐχ ὑποδέχεται, μέθη πνεῦμα ἅγιον ἀποδιώκει. καπνὸς μὲν γὰρ ἀποδιώκει μελίσσας, χαρίσματα δὲ πνευματικὰ ἀποδιώκει κραιπάλη. νηστεία, πόλεως εὐσχημοσύνη, ἀγορᾶς εὐστάθεια, οἴκων εἰρήνη, σωτηρία τῶν ὑπαρχόντων. βούλει αὐτῆς ἰδεῖν τὴν σεμνότητα; σύγκρινόν μοι τὴν σήμερον ἑσπέραν τῇ αὔριον, καὶ ὄψει τὴν πόλιν ἐκ ταραχῆς καὶ ζάλης εἰς γαλήνην βαθεῖαν μεταβαλοῦσαν. εὔχομαι δὲ καὶ τὴν σήμερον τῇ αὔριον ἐοικέναι κατὰ τὴν σεμνότητα, καὶ τὴν αὔριον μηδὲν φαιδρότητι τῆς σήμερον ἀπολείπεσθαι. ὁ δὲ ἀγαγὼν ἡμᾶς εἰς τὴν περίοδον τοῦ χρόνου κύριος, παράσχοι ἡμῖν οἷον ἀγωνισταῖς εἰς τοὺς προαγῶνας τούτους τὸ στερρὸν καὶ εὔτονον τῆς καρτερίας ἐπιδειξαμένοις, φθάσαι καὶ ἐπὶ τὴν κυρίαν τῶν στεφάνων ἡμέραν, νῦν μὲν τῆς ἀναμνήσεως τοῦ σωτηρίου πάθους, ἐν δὲ τῷ μέλλοντι αἰῶνι, τῆς ἀνταποδόσεως τῶν βεβιωμένων ἡμῖν ἐν τῇ δικαιοκρισίᾳ τοῦ χριστοῦ αὐτοῦ. ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

# ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ
## λόγος β.

ΠΑΡΑΚΑΛΕΙ͂ΤΕ φησὶν ἱερεῖς τὸν λαὸν, λαλήσατε εἰς τὰ ὦτα Ἱερουσαλήμ. ἱκανὴ τοῦ λόγου ἡ φύσις, τῶν μὲν σπουδαίων τὰς ὁρμὰς ἐπιτεῖναι, τῶν δὲ ῥαθύμων καὶ νωθρῶν ἐπεγεῖραι τὸ πρόθυμον. ὅθεν στρατηγοὶ μὲν εἰς παράταξιν τὸν στρατὸν καθιστῶντες, τοῖς παρακλητικοῖς λόγοις πρὸ τῶν ἀγώνων κέ-

χρηνῦται, καὶ τοσαύτην ἔχει δύναμιν ἡ παραίνεσις, ὥστε πολλοῖς καὶ
θανάτου πολλάκις καταφρόνησιν ἐμποιεῖν. γυμνασταὶ δὲ καὶ παιδο-
τρίβαι, πρὸς τοὺς ἐν τοῖς σταδίοις ἀγῶνας τοὺς ἀθλοῦντας προάγον-
τες, πολλὰ ἐπὶ τῷ χρῆναι πονεῖν ὑπὲρ τῶν στεφάνων διακελεύονται, ὥστε
καὶ συνεπείσθησαν πολλοὶ, τῇ περὶ τὴν νίκην φιλοτιμίᾳ, τῶν σωμάτων
ὑπεριδεῖν. καὶ τοίνυν καὶ ἐμοὶ τοὺς Χριστοῦ στρατιώτας πρὸς τὸν κατὰ τῶν ἀο-
ράτων ἐχθρῶν πόλεμον διατάσσοντι, καὶ τοὺς ἀθλητὰς τῆς εὐσεβείας, ἐπὶ
τοὺς τῆς δικαιοσύνης στεφάνους διὰ τῆς ἐγκρατείας παρασκευάζοντι, ἀ-
ναγκαῖος ὁ λόγος τῆς παρακλήσεως. Τί οὖν φημὶ ἀδελφοί; ὅτι τοὺς
μὲν τὰ τακτικὰ μελετῶντας, καὶ τοὺς ἐν παλαίστραις διαπονουμένους,
ἀκόλουθόν ἐστι τῇ δαψιλείᾳ τῆς τροφῆς κατασαρκοῦν ἑαυτοὺς, ὡς ἂν εὐ-
τονώτερον τῶν πόνων ἀντιλαμβάνοιντο. οἷς δὲ οὐκ ἔστιν ἡ πάλη πρὸς αἷμα
καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμο-
κράτορας τοῦ σκότους τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, τούτοις
διὰ τῆς ἐγκρατείας καὶ τῆς νηστείας ἀναγκαῖον ἐστι πρὸς τὸν ἀγῶνα κατα-
γυμνάζεσθαι. ἔλαιον μὲν γὰρ πιαίνει τὸν ἀθλητὴν, νηστεία δὲ τὸν ἀσκητὴν τῆς
εὐσεβείας κρατύνει, ὥστε ὅσον ὑφαιρεῖς τῆς σαρκὸς, τοσοῦτον ποιήσεις τῆς
πνευματικῆς εὐεξίας τὴν ψυχὴν ἀποστίλβειν. οὐ γὰρ σωματικοῖς τό-
νοις, ἀλλὰ καρτερίᾳ ψυχῆς καὶ τῇ πρὸς τὰς θλίψεις ὑπομονῇ, τὸ
πρὸς τοὺς ἀοράτους ἐχθροὺς περιγίνεται κράτος. ἔστι μὲν οὖν πάντα τὸν
χρόνον ἡ νηστεία ὠφέλιμος, τοῖς αἱρουμένοις αὐτήν. οὔτε γὰρ ἐπήρεια
δαιμόνων κατατολμᾷ τοῦ νηστεύοντος, καὶ οἱ φύλακες τῆς ζωῆς ἡμῶν
ἄγγελοι φιλοπονώτερον παραμένουσι τοῖς διὰ νηστείας τὴν ψυχὴν κε-
καθαρμένοις. Πολλῷ δὲ πλέον νῦν, ὅτε εἰς πᾶσαν τὴν οἰκουμένην
περιαγγέλλεται τὸ κήρυγμα, καὶ οὔτε τις νῆσος, οὐκ ἤπειρος, οὐ πόλις,
οὐκ ἔθνος, οὐκ ἐσχατιὰ ἀνήκοός ἐστι τοῦ κηρύγματος, ἀλλὰ καὶ στρατό-
πεδα, καὶ ὁδοιπόροι, καὶ πλωτῆρες, καὶ ἔμποροι, πάντες ὁμοίως καὶ
ἀκούουσι τοῦ παραγγέλματος καὶ περιχαρῶς ὑποδέχονται. ὥστε μη-
δεὶς ἑαυτὸν ἔξω ποιείτω τοῦ καταλόγου τῶν νηστευόντων, ἐν ᾧ πάντα γέ-
νη καὶ πᾶσα ἡλικία, καὶ ἀξιωμάτων διαφοραὶ πᾶσαι καταλέγονται.
ἄγγελοί εἰσιν οἱ καθ' ἑκάστην ἐκκλησίαν ἀπογραφόμενοι τοὺς νηστεύον-
τας. ὅρα μὴ διὰ μικρὰν ἡδονὴν βρωμάτων, ζημιωθῇς μὲν τὴν ἀπο-

γραφὴν

γραφὴν τοῦ ἀγγέλου, ὑπόδικον δὲ σαυτὸν λειποταξίου γραφῆς τῷ
στρατολογήσαντι καταστήσῃς. ἐλάττων ὁ κίνδυνος ῥίψασπιν ἐπὶ πα-
ρατάξεως ἀπελεγχθῆναί τινα, ἢ τὸ μέγα ὅπλον τὴν νηστείαν ἀποβα-
λόντα φανῆναι. πλούσιος εἶ; μὴ καθυβρίσῃς τὴν νηστείαν, ἀπαξιώ-
σας λαβεῖν αὐτὴν ὁμοτράπεζον, μηδὲ τῆς οἰκίας σου ἄτιμον ἀπο-
πέμψῃ, παροινηθεῖσαν ὑπὸ τῆς ἡδονῆς, μή ποτέ σε καταγγέλῃ
ἐπὶ τοῦ νομοθέτου τῶν νηστειῶν, καὶ πολλαπλασίονά σοι ἀπὸ καταδίκης
ἐπαγάγῃ τὴν ἔνδειαν, ἢ ἐξ ἀρρωστίας σώματος ἢ ἐξ ἄλλης τινὸς
σκυθρωπῆς περιστάσεως. ὁ πένης μὴ εἰρωνευέσθω πρὸς τὴν νηστείαν,
πάλαι σύνοικον αὐτὴν καὶ ὁμοδίαιτον ἔχων. γυναιξὶ δὲ ὥσπερ τὸ ἀνα-
πνεῖν, οὕτω καὶ νηστεύειν οἰκεῖόν ἐστι καὶ κατὰ φύσιν. οἱ παῖδες, ὥσπερ τὰ
φυτὰ τὰ εὐθαλῆ, τῷ τῆς νηστείας ὕδατι καταρδευέσθωσαν. Τοῖς πρεσβύ-
ταις κοῦφον ποιεῖ τὸν πόνον, ἡ ἐκ παλαιοῦ πρὸς αὐτὴν οἰκείωσις. πόνοι γὰρ
ἐκ μακρᾶς συνηθείας μελετηθέντες, ἀλυπότεροι προσπίπτουσι τοῖς γε-
γυμνασμένοις. Τοῖς ὁδοιπόροις, εὐσταλής ἐστι συνέμπορος ἡ νηστεία. ὥσ-
περ γὰρ ἡ τρυφὴ ἀχθοφορεῖν αὐτοὺς ἀναγκάζει, τὰς ἀπολαύσεις περι-
κομίζοντας, οὕτω καὶ κούφοις αὐτοὺς καὶ εὐζώνους ἡ νηστεία παρασκευάζει.
εἶτα, στρατείας μὲν ὑπερορίου προγραφείσης, τὰ ἀναγκαῖα οὐχὶ τὰ
πρὸς τρυφὴν ἐπισιτίζονται στρατιῶται, ἡμῖν δὲ πρὸς τὸν κατὰ τῶν ἀοράτων
ἐχθρῶν πόλεμον ἐξιοῦσι, καὶ μετὰ τὴν τούτων νίκην πρὸς τὴν ἄνω πατρίδα
ἐπειγομένοις, οὐ πολλῷ μᾶλλον ἁρμόσει ὥσπερ ἐπὶ στρατοπέδου διαι-
τωμένοις ἀρκεῖσθαι τοῖς ἀναγκαίοις; κακοπάθησον ὡς καλὸς στρατιώ-
της καὶ ἄθλησον νομίμως, ἵνα στεφανωθῇς, ἐκεῖνο εἰδώς, ὅτι πᾶς ὁ ἀ-
γωνιζόμενος, πάντα ἐγκρατεύεται. ὃ δέ με ὑπῆλθεν ἀστείως λέγοντα,
ἄξιον μὴ παριδεῖν. ὅτι τοῖς μὲν τοῦ κόσμου στρατιώταις, κατὰ τὴν τῶν
καμάτων ἀναλογίαν τὸ σιτηρέσιον αὔξεται, τοῖς δὲ πνευματικοῖς ὁ-
πλίταις, ὁ ἔλαττον ἔχων τῆς τροφῆς, τὸ μεῖζον ἔχει τοῦ ἀξιώματος. ὡς
γὰρ ἡ περικεφαλαία ἡμῶν παρήλλακται τὴν φύσιν πρὸς τὴν φθαρ-
τήν. τῆς μὲν γὰρ ὕλη ἐστὶν ὁ χαλκός, ἡ δὲ ἐκ τῆς ἐλπίδος τοῦ σωτηρίου
συνέστηκε. Καὶ ὁ θυρεὸς μὲν ἐκείνοις ἐκ ξύλου καὶ βύρσης πεποίηται,
ἡμῖν δὲ τὸ τῆς πίστεώς ἐστι προβόλαιον. Καὶ θώρακι ἡμεῖς μὲν τῷ τῆς δι-

καιο-

καιοσύνης πεφράγμεθα, ἐκεῖνοι δὲ χιτῶνά τινα ἁλυσίδετον περιφέρουσι. Καὶ μάχαιρα, ἡμῖν μὲν ἡ τοῦ πνεύματός ἐστι πρὸς ἄμυναν, οἱ δὲ τὴν ἐκ σιδήρου περιβάλλονται. Οὕτω δῆλον, ὅτι τροφαὶ οὐχ αἱ αὐταὶ ἀμφοτέροις τὴν ἰσχὺν ἐμποιοῦσιν. ἀλλ' ἡμᾶς μὲν τὰ δόγματα τῆς εὐσεβείας ῥώννυσιν, ἐκείνοις δὲ ἡ πλησμονὴ τῆς γαστρὸς ἀναγκαία. ἐπεὶ οὖν ἤγαγεν ἡμῖν περιτρέχων ὁ χρόνος τὰς πολυποθήτους ταύτας ἡμέρας, ὡς παλαιὰς τροφοὺς, ἄσμενοι πάντες ὑποδεξώμεθα, δι' ὧν ἐτιθηνήσατο ἡμᾶς ἡ ἐκκλησία πρὸς τὴν εὐσέβειαν. μέλλων τοίνυν νηστεύειν, μὴ σκυθρωπάζῃς Ἰουδαϊκῶς, ἀλλ' εὐαγγελικῶς σεαυτὸν καταφαίδρυνον, μὴ πενθῶν τῆς γαστρὸς τὴν ἔνδειαν, ἀλλὰ συνηδόμενος τῇ ψυχῇ τῶν πνευματικῶν ἀπολαύσεων. οἶδας ὅτι ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός. ἐπεὶ οὖν ταῦτα ἀλλήλοις ἀντίκειται, ὑφέλωμεν τῆς σαρκὸς τὴν εὐπάθειαν, αὐξήσωμεν δὲ τῆς ψυχῆς τὴν ἰσχὺν, ἵνα διὰ τῆς νηστείας κατὰ τῶν παθῶν λαβόντες τὰ νικητήρια, τοὺς τῆς ἐγκρατείας στεφάνους ἀναδησώμεθα. ἤδη οὖν σεαυτὸν ἄξιον παρασκεύασον τῆς σεμνοτάτης νηστείας, μὴ τῇ σημερινῇ μέθῃ τὴν αὔριον διαφθείρῃς ἐγκράτειαν. κακὸς ὁ λογισμὸς, πονηρὰ ἡ ἐπίνοια, ἐπειδὴ πέντε ἡμερῶν νηστεία ἡμῖν προκεκήρυκται, σήμερον ἑαυτοὺς τῇ μέθῃ καταβαπτίζωμεν. οὐδεὶς γυναῖκα σεμνὴν νόμοις γαμικοῖς ἐπάγεσθαι μέλλων, παλλακίδας καὶ ἑταίρας προλαβὼν ἐσοικίζεται. οὐ γὰρ ἀνέχεται ἡ νομίμη, τὴν μετὰ τῶν διεφθαρμένων συνοίκησιν. Μὴ τοίνυν καὶ σὺ προσδοκωμένης νηστείας, προεισαγάγῃς τὴν μέθην, τὴν πάνδημον πόρνην, τὴν ἀναισχυντίας μητέρα, τὴν φιλόγελων, τὴν μαινάδα, τὴν πρὸς πᾶσαν ἰδέαν ἀσχημοσύνης εὔκολον. οὐ γὰρ μὴ εἰσέλθῃ νηστεία καὶ δέησις εἰς ψυχὴν ῥυπωθεῖσαν ὑπὸ τῆς μέθης. Τὸν νηστεύοντα εἴσω τῶν ἱερῶν περιβόλων παραδέχεται ὁ κύριος, τὸν κραιπαλῶντα, ὡς βέβηλον καὶ ἀνίερον οὐ προσίεται. ἐὰν γὰρ ἔλθῃς αὔριον οἴνου ἀπόζων καὶ τούτου σεσηπότος, πῶς εἰς νηστείαν σοι τὴν κραιπάλην λογίσομαι; μὴ γὰρ ὅτι πρόσφατον οὐκ ἐνεχέω τὸν ἄκρατον, ἀλλ' ὅτι οὐ καθαρεύεις οἴνου, τοῦτο λογίζου. Ποῦ σε τάξω; ἐν τοῖς μεθύουσιν, ἢ ἐν τοῖς νηστευταῖς; ἡ παρελθοῦσα οἰνοφλυγία,

πρὸς

πρὸς ἑαυτὴν ἐπισπᾶται, ἡ παροῦσα ἔνδεια νηστείαν προσμαρτυρεῖ. ἀμφισβητήσιμος εἶ τῇ μέθῃ ὥσπερ ἀνδράποδον, καὶ οὐκ ἀφέξεταί σου δικαίως, ἐναργεῖς τὰς ἀποδείξεις τῆς δουλείας παρεχομένη, τὴν ὀσμὴν τοῦ οἴνου ὥσπερ ἀγγείῳ ἐναπομείνασαν. εὐθὺς ἡ πρώτη τῶν νηστειῶν ἀδόκιμός σοι γενήσεται, διὰ τὸ ἐναποκεῖσθαί σοι τῆς μέθης τὰ λείψανα. ὧν δὲ ἡ ἀπαρχὴ ἀδόκιμος, καὶ τὸ πᾶν ἀπόβλητον δηλονότι. μέθυσοι θεοῦ βασιλείαν οὐ κληρονομήσουσιν. εἰ μεθύων ἔρχῃ ἐπὶ τὴν νηστείαν, τί σοι τὸ ὄφελος; εἰ γὰρ ἀποκλείει σε τῆς βασιλείας ἡ μέθη, ποῦ σοι λοιπὸν χρήσιμον τὸ νηστεύειν; οὐχ ὁρᾷς ὅτι καὶ τῶν ἵππων τοὺς ἀγωνιστὰς οἱ ἐμπειρότατοι πωλοδάμναι, τῆς ἀγωνίας προσδοκωμένης, διὰ τῆς ἐνδείας προευτρεπίζουσι; σὺ δὲ ἐξεπίτηδες σεαυτὸν καταπιέζεις τῷ κόρῳ, τοσοῦτον τῇ γαστριμαργίᾳ καὶ τὰ ἄλογα παρελαύνεις. βαρουμένη γαστὴρ οὐχ ὅπως πρὸς δρόμον, ἀλλ' οὐδὲ πρὸς ὕπνον ἐπιτηδεία, διότι καταθλιβομένη τῷ πλήθει, οὐδὲ ἠρεμεῖν συγχωρεῖται, ἀλλ' ἀναγκάζεται πολλὰς ποιεῖσθαι τὰς περιστροφὰς ἐφ' ἑκάτερα. νηστεία φυλάσσει νήπια, σωφρονίζει τὸν νέον, σεμνὸν ποιεῖ τὸν πρεσβύτην. αἰδεσιμωτέρα γὰρ πολιὰ νηστείᾳ κεκοσμημένη. γυναιξὶ κόσμος ἁρμοδιώτατος, ἀκμαζόντων χαλινὸς, συζυγίας φυλακτήριον, παρθενίας τροφός. Τοιαῦται μὲν αἱ καθ' ἕκαστον οἶκον αὐτῆς ἐπιμέλειαι. δημοσίᾳ δέ πως τῷ βίῳ ἡμῶν ἐμπολιτεύεται, πᾶσαν ἀθρόως τὴν πόλιν καὶ πάντα τὸν δῆμον μεθαρμόζει πρὸς εὐταξίαν, κοιμίζει κραυγὴν, ἐξομαλίζει μάχην, λοιδορίαν κατασιγάζει. Τίνος διδασκάλου παρουσία παίδων θόρυβον οὕτως ἀθρόως καθίστησιν, ὡς ἡ νηστεία παραφανεῖσα ταραχὴν πόλεως καταστέλλει; ποῖος κωμαστὴς ἐν νηστείᾳ προῆλθε; ποῖος χορὸς ἀσελγὴς ἀπὸ νηστείας συνέστη; ἁπαλοὶ γέλωτες, καὶ ᾄσματα πορνικὰ, καὶ ὀρχήσεις ἐκμανεῖς ἐξαπίνης τῆς πόλεως ὑπεξέρχονται, ὥσπερ ὑπὸ δικαστοῦ τινος αὐστηροῦ τῆς νηστείας φυγαδευθεῖσαι. εἰ δὲ πάντες αὐτὴν εἰς τὴν ὑπὲρ τῶν πρακτέων σύμβουλον παρελάμβανον, οὐδὲν ἐκώλυε βαθεῖαν εἰρήνην εἶναι κατὰ πᾶσαν τὴν οἰκουμένην, μήτε ἐθνῶν ἐπανισταμένων ἀλλήλοις, μήτε στρατοπέδων συρρηγνυμένων. Οὐκ ἂν ἐχαλκεύετο ὅπλα, νηστείας κρατούσης, οὐδ' ἂν δικαστήρια συνεκροτεῖτο, οὐδ' ἂν ᾤκουν τινὲς

τὰ δεσμωτήρια, οὐδ' ἂν ὅλως εἶχον αἱ ἐρημίαι τοὺς κακουργοῦντας, ἢ αἱ πόλεις τοὺς συκοφάντας, ἢ τοὺς καταποντιστὰς ἡ θάλασσα. Εἰ πάντες ἦσαν μαθηταὶ τῆς νηστείας, οὐδ' ἂν ἠκούσθη ὅλως κατὰ τὸν τοῦ Ἰὼβ λόγον, φωνὴ φορολόγου, οὐδ' ἂν οὕτως ἦν ὁ βίος ἡμῶν πολυστένακτος, καὶ κατηφείας πλήρης, εἰ νηστεία τὸν βίον ἡμῶν ἐπρυτάνευε. δῆλον γὰρ ὅτι ἐδίδαξεν ἂν πάντας οὐχὶ βρωμάτων μόνον ἐγκράτειαν, ἀλλὰ καὶ φιλαργυρίας, καὶ πλεονεξίας, καὶ πάσης κακίας παντελῆ φυγὴν καὶ ἀλλοτρίωσιν. ὧν ἐξαιρεθέντων, οὐδὲν ἐκώλυεν ἐν εἰρήνῃ βαθείᾳ καὶ ἀταραξίᾳ ψυχῶν τὴν ζωὴν καὶ ἡμᾶς διαπέμπειν. νῦν δὲ, οἱ μὲν τὴν νηστείαν ἀποπεμπόμενοι, τὴν τρυφὴν δὲ ὡς μακαριότητα βίου μεταδιώκοντες, τόν τε πολὺν ἐκεῖνον τῶν κακῶν ἑσμὸν ἐπεισήγαγον, καὶ τὰ ἑαυτῶν προσδιαφθείρουσι σώματα. παρατήρησόν μοι τῶν προσώπων τὴν διαφορὰν, τῶν τε σήμερόν σοι κατὰ τὴν ἑσπέραν φανησομένων, καὶ τῶν αὔριον. σήμερον οἰδοῦντα, ὑπέρυθρα, ἱδρῶτι λεπτῷ νοτιζόμενα, ὀφθαλμοὶ διϋγροι, περιπετεῖς, τὸ ἀκριβὲς τῆς αἰσθήσεως, ἐκ τῆς ἔνδοθεν ἀχλύος ἀφῃρημένοι. αὔριον δὲ κατεσταλμένα, σεμνὰ, τὴν ἐκ τῆς φύσεως χροὰν ἀπολαβόντα, συννοίας γέμοντα, καὶ πάσης αἰσθήσεως ἀκριβοῦς, οὐδεμιᾶς ἔνδοθεν αἰτίας ταῖς φυσικαῖς ἐνεργείαις ἐπισκοτούσης. νηστεία ἡ τῶν ἀγγέλων ὁμοίωσις, ἡ τῶν δικαίων ὁμόσκηνος, ὁ τοῦ βίου σωφρονισμός. αὕτη νομοθέτην ἐποίησε τὸν Μωσῆν. νηστείας ἐστὶ καρπὸς Σαμουήλ. νηστεύουσα προσηύξατο τῷ Θεῷ Ἄννα. Ἀδωναὶ κύριε, ἐλωῒ σαβαὼθ, ἐὰν ἐπιβλέπων ἐπιβλέψῃς ἐπὶ τὴν δούλην σου, καὶ δῷς μοι σπέρμα ἀνδρὸς, δώσω ἐνώπιόν σου δοτόν. οἶνον καὶ σίκερα οὐ μὴ πίοι, ἕως ἡμέρας θανάτου αὐτοῦ. Αὕτη τὸν μέγαν Σαμψὼν ἐτιθηνήσατο, καὶ ἕως ὅτε συμπαρῆν τῷ ἀνδρὶ, κατὰ χιλίους ἔπιπτον οἱ πολέμιοι, καὶ πύλαι πόλεων ἀνεσπῶντο, καὶ λέοντες τῶν χειρῶν τὴν ἰσχὺν οὐχ ὑφίσταντο. ὅτε δὲ μέθη αὐτὸν καὶ πορνεία παρέλαβον, ἁλώσιμος ἦν τοῖς ἐχθροῖς, καὶ τῶν ὀφθαλμῶν στερηθεὶς, παίγνιον προέκειτο τοῖς παιδαρίοις τῶν ἀλλοφύλων. νηστεύσας Ἠλίας ἀπέκλεισε τὸν οὐρανὸν τρία ἔτη καὶ μῆνας ἕξ. ἐπειδὴ γὰρ εἶδε πολλὴν ἐκ τοῦ κόρου τικτομένην τὴν ὕβριν, ἀναγκαίως αὐτοῖς τὴν ἀκούσιον ἐκ τοῦ λιμοῦ νηστείαν ἐπήγαγε, δι' ἧς πρὸς τὸ ἄμετρον ἤδη

χεομένην αὐτὴν τὴν ἁμαρτίαν ἔστησεν οἷον καυτῆρί τινι ἢ τομῇ τῇ νη-
στείᾳ, τὴν εἰς τὸ πλέον πρόοδον τοῦ κακοῦ διακόψας. δέξασθε αὐτὴν
οἱ πένητες τὴν σύνοικον ὑμῶν καὶ ὁμοτράπεζον, οἱ δοῦλοι, τὴν ἀνά-
παυσιν τῶν συνεχῶν τῆς ὑπηρεσίας καμάτων, οἱ πλούσιοι, τὴν ἰα-
τρεύουσαν ὑμᾶς τῆς ἐκ τοῦ κόρου βλάβης, καὶ τῇ μεταβολῇ τερπνότερα
ποιοῦσαν τὰ ὑπὸ τῆς συνηθείας καταφρονούμενα, οἱ ἄρρωστοι, τὴν
τῆς ὑγείας μητέρα, οἱ εὐεκτοῦντες τὸ τῆς εὐεξίας ὑμῶν φυλακτή-
ριον. ἐρώτησον τοὺς ἰατροὺς καὶ ἀναγγελοῦσί σοι, ὅτι σφαλερώτατόν ἐστι
πάντων, ἡ ἐπ' ἄκρον εὐεξία. διόπερ διὰ νηστείας ὑφαιροῦσι τὸ πλεονά-
ζον οἱ ἐμπειρότατοι, ὡς μὴ τῷ βάρει τῆς πολυσαρκίας ἀποκλα-
σθῆναι τὴν δύναμιν. ἐξεπίτηδες γὰρ διὰ τῆς ἐνδείας καθελόντες
τὴν ἀμετρίαν, εὐρυχωρίαν τινὰ καὶ ἀνατροφὴν, καὶ ἀρχὴν δευτέ-
ρας αὐξήσεως τῇ τρεπτικῇ δυνάμει παρασκευάζουσιν. οὕτω παντὶ
ἐπιτηδεύματι καὶ πάσῃ σώματος ἕξει, τὸ παρ' αὐτῆς ὠφέλιμον
ἀπαντᾷ, καὶ πᾶσιν ὁμοίως ἐπιπρέπει, τοῖς οἴκοις, ταῖς ἀγοραῖς, ταῖς
νυξὶ, ταῖς ἡμέραις, ταῖς πόλεσι, ταῖς ἐρημίαις. Τὴν τοίνυν διὰ τοσ-
ούτων ἡμῖν τὸ παρ' ἑαυτῆς καλὸν χαριζομένην, φαιδρῶς ἀποδε-
ξώμεθα, κατὰ τὸν τοῦ κυρίου λόγον. Μὴ κατασκυθρωπάζοντες ὡς οἱ ὑπο-
κριταὶ, ἀλλὰ τὸ ἱλαρὸν τῆς ψυχῆς ἀνεπιτηδεύτως διαδεικνύντες.
καὶ οὐ τοσούτου μοι δεῖν ἀγῶνος ἡγοῦμαι τὴν περὶ νηστείας παράκλη-
σιν, ὅσου τὸ μὴ σήμερόν τινα τοῖς κακοῖς τῆς μέθης περιπεσεῖν. Τὴν μὲν
γὰρ νηστείαν, καὶ διὰ τὴν συνήθειαν, καὶ διὰ τὴν πρὸς ἀλλήλους αἰδῶ,
οἱ πολλοὶ καταδέχονται. φοβοῦμαι δὲ τὴν μέθην, ἣν ὥσπερ τινὰ κλῆ-
ρον πατρῷον οἱ φίλοινοι διασώζουσιν. ὡς γὰρ οἱ πρὸς τὰς μακρὰς ἀπο-
δημίας ἀπαίροντες, οὕτω τινὲς τῶν ἀνοήτων σήμερον πρὸς τὰς πέντε
τῶν νηστειῶν ἡμέρας οἰνίζονται. Τίς οὕτως ἀνόητος, ὥστε πρὶν ἄρξασθαι
πίνειν, τὰ τῶν μεθυόντων παραφρονεῖν; οὐκ οἶδας, ὅτι γαστὴρ παρακα-
ταθήκην οὐ διασώζει; γαστὴρ συναλλακτής ἐστιν ἀπιστότατος, τα-
μιεῖον ἀφύλακτον, πολλῶν ἐναποτεθέντων, τὴν μὲν βλάβην παρακατ-
έχουσα, τὰ μέντοι παρατεθέντα οὐ διασώζουσα. ὅρα μὴ καί σοι αὔριον
ἀπὸ μέθης ἐλθόντι τὰ νῦν ἀναγνωσθέντα λεχθῇ. οὐ ταύτην τὴν νη-
στείαν ἐξελεξάμην, λέγει κύριος. Τί μιγνύεις τὰ ἄμικτα; τίς μετοχὴ

νηστείας πρὸς μέθην; τίς κοινωνία τῇ οἰνοφλυγίᾳ πρὸς τὴν ἐγκράτειαν;
τίς συγκατάθεσις ναῷ θεοῦ μετὰ εἰδώλων; ναὸς μὲν γὰρ θεοῦ εἰσιν, ἐν
οἷς τὸ πνεῦμα τοῦ θεοῦ ἐνοικεῖ. ναὸς δὲ εἰδώλων, οἱ διὰ τῆς μέθης τὸν συρ-
φετὸν τῆς ἀκολασίας ὑποδεχόμενοι. ἡ σήμερον ἡμέρα, προπύλαιον
ἐστὶ τῶν νηστειῶν. οὐδή πω δὲ ὁ ἐν τοῖς προθύροις βεβηλωθεὶς, ἄξιός
ἐστιν εἰσελθεῖν εἰς τὰ ἅγια. οὐδεὶς οἰκέτης ἐξευμενίσασθαι θέλων τὸν ἑαυ-
τοῦ δεσπότην, τῷ ἐχθρῷ αὐτοῦ προστάτῃ καὶ διαλλακτῇ κέχρηται. μέθη
ἔχθρα ἐστὶν εἰς θεόν, νηστεία δὲ ἀρχὴ μετανοίας. εἰ οὖν βούλει διὰ τῆς ἐξο-
μολογήσεως ἐπανελθεῖν πρὸς τὸν θεὸν, φεῦγε τὴν μέθην, μή σοι
χαλεπωτέραν κατασκευάσῃ τὴν ἀλλοτρίωσιν. οὐ μέν τι ἐξαρ-
κεῖ καθ᾿ ἑαυτὴν ἡ ἀποχὴ τῶν βρωμάτων πρὸς τὴν ἐπαινετὴν νη-
στείαν, ἀλλὰ νηστεύσωμεν νηστείαν δεκτὴν, εὐάρεστον τῷ θεῷ. ἀλη-
θὴς νηστεία, ἡ τοῦ κακοῦ ἀλλοτρίωσις, ἐγκράτεια γλώσσης, θυμοῦ ἀπο-
χή, ἐπιθυμιῶν χωρισμός, καταλαλιᾶς, ψεύδους, ἐπιορκίας. ἡ τούτων ἔν-
δεια νηστεία ἐστὶν ἀληθής. ἐν τούτοις μὲν οὖν ἡ νηστεία καλόν. κατατρυφήσω-
μεν δὲ τοῦ κυρίου ἐν τῇ μελέτῃ τῶν λογίων τοῦ πνεύματος, καὶ ἐν τῇ ἀναλή-
ψει τῶν σωτηρίων νομίμων, καὶ ἐν πᾶσι τοῖς διορθωτικοῖς τῶν ψυχῶν ἡ-
μῶν δόγμασιν. ἀπὸ μέντοι τῆς ἐν τῷ κρυπτῷ νηστείας φυλαξώμεθα,
περὶ ἧς καὶ ὁ προφήτης ἀποδέχεται λέγων, οὐ λιμοκτονήσει κύριος ψυ-
χὰς δικαίων. καὶ τὸ, οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον οὐδὲ τὸ σπέρ-
μα αὐτοῦ ζητοῦν ἄρτους. οὐ γὰρ ἂν περὶ αἰσθητῶν ἄρτων εἶπεν, ὁ εἰ-
δὼς τοὺς παῖδας τοῦ πατριάρχου Ἰακὼβ ἄρτων ἕνεκεν καταβάντας
εἰς Αἴγυπτον, ἀλλὰ περὶ τῆς πνευματικῆς λέγει τροφῆς, καθ᾿ ἣν ὁ ἔσω
ἡμῶν ἄνθρωπος τελειοῦται. μὴ ἔλθῃ ἐφ᾿ ἡμᾶς ἡ τοῖς Ἰουδαίοις ἀπει-
ληθεῖσα νηστεία. ἰδοὺ γὰρ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ ἐπάξω
ἐπὶ τὴν γῆν ταύτην λιμὸν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος,
ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον κυρίου. ὃν διὰ τοῦτο ἐπήγαγεν ὁ δί-
καιος κριτὴς, ἐπειδὴ ἑώρα αὐτῶν τὸν μὲν νοῦν ἐν τῇ ἀτροφίᾳ τῶν τῆς ἀ-
ληθείας διδαγμάτων λιμαγχονούμενον, ὑπερπιαινόμενον δὲ αὐτῶν
καὶ κατασαρκούμενον τὸν ἔξω ἄνθρωπον. Πάσας τοίνυν τὰς ἐφεξῆς ἡ-
μέρας, ἑστιάσει ἡμᾶς τὸ πνεῦμα τὸ ἅγιον, ἑωθιναῖς τε καὶ ἑσπεριναῖς
εὐφροσύναις. Μηδεὶς ἑκουσίως ἀπολιμπανέσθω τῆς πνευματικῆς

εὐωχίας

εὐωχίας. Πάντες μετάσχωμεν τοῦ νηφαλίου κρατῆρος, ὃν ἡ σοφία κεράσασα, προέθηκεν ἡμῖν ἐξ ἴσου, καθ' ὅσον ἐστὶ χωρητικὸς ἕκαστος ἀπαρύεσθαι. ἐκέρασε γὰρ τὸν ἑαυτῆς κρατῆρα, καὶ ἔσφαξεν τὰ ἑαυτῆς θύματα, τουτέστι τὴν τῶν τελείων τροφὴν, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων, πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ, ὧν δαψιλῶς ἐμφορηθέντες, εὑρεθείημεν ἄξιοι καὶ τῆς ἐν τῷ νυμφῶνι εὐφροσύνης, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας, ἀμήν.

# ΚΑΤΑ ΜΕΘΥΟΝΤΩΝ

## ΟΜΙΛΙΑ.

ΚΙΝΕΙ μέν με πρὸς τὸν λόγον τὰ ἑσπερινὰ θεάματα, κατέχει δέ με πάλιν τὴν ὁρμὴν, καὶ ἀπαμβλύνει τὴν προθυμίαν τῶν προλαβόντων πόνων τὸ ἄκαρπον. Ἐπεὶ καὶ γεωργὸς τῶν πρώτων αὐτῷ σπερμάτων μὴ ἐκφυέντων, ὀκνηρότερός ἐστι πρὸς τὸ δεύτερον ταῖς αὐταῖς ἀρούραις πάλιν ἐγκαταβάλλειν. εἰ γὰρ ἐπὶ τοσαύταις παραινέσεσιν, ἃς ἔν τε τῷ προλαβόντι χρόνῳ παρακαλοῦντες ὑμᾶς οὐ διελίπομεν, καὶ ἐφεξῆς τὰς ἑπτὰ τούτων τῆς νηστείας ἑβδομάδων νύκτας καὶ ἡμέρας διαμαρτυρόμενοι ὑμῖν τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ θεοῦ οὐκ ἐπαυσάμεθα, οὐδὲν γέγονεν ὄφελος, ἐπὶ ποίαις ἐλπίσι διαλεχθῶμεν σήμερον; ὢ πόσας νύκτας εἰκῇ ἠγρυπνήσατε, πόσας ἡμέρας εἰκῇ συνηθροίσθητε. εἴγε καὶ εἰκῇ. ὁ γὰρ ἐν προκοπῇ γινόμενος ἀγαθῶν ἔργων, εἶτα παλινδρομήσας πρὸς τὴν ἀρχαίαν συνήθειαν, οὐ μόνον τὸν ἐπὶ τοῖς πεπονημένοις μισθὸν ἐζημιώθη, ἀλλὰ καὶ βαρυτέρας ἄξιος ἐστι τῆς κατακρίσεως. ὅτι γευσάμενος καλὸν θεοῦ ῥῆμα, καὶ γνώσεως μυστηρίων ἀξιωθεὶς, πάντα προέδωκεν, ἡδονῇ βραχείᾳ δελεασθείς. ὁ μὲν γὰρ ἐλάχιστος, συγγνωστός ἐστιν ἐλέους, δυνατοὶ δέ φησι, δυνατῶς ἐτασθήσονται. μία ἑσπέ-

ρα, καὶ μία προσβολὴ τοῦ ἐχθροῦ, πάντα τὸν πόνον ἐκεῖνον διέλυσε καὶ
ἠφάνισε. Ποία οὖν προθυμία τοῦ νῦν λόγου; ὥστε κἂν ἐσιώπησα εὖ
ἴστε, εἰ μὴ ἐφοβούμην τὸ ὑπόδειγμα τοῦ Ἱερεμίου, ὃς πρὸς ἀπειθῆ
λαὸν φθέγγεσθαι μὴ βουλόμενος, ἔπαθεν ἐκεῖνα, ἅπερ αὐτὸς διηγή-
σατο, ὅτι ἐγένετο αὐτῷ πῦρ ἐν τοῖς ἐγκάτοις. Καὶ παρεῖτο πάντοθεν, καὶ
οὐκ ἠδύνατο φέρειν. Γυναῖκες ἀκόλαστοι, ἐπιλαθόμεναι τοῦ φόβου
τοῦ Θεοῦ, τοῦ πυρὸς τοῦ αἰωνίου καταφρονήσασαι, ἐν ἡμέρᾳ τοιαύτῃ, ὅτε
αὐτὰς ἐχρῆν διὰ τὴν ἀνάμνησιν τῆς ἀναστάσεως, καθῆσθαι ἐν τοῖς οἴκοις
καὶ ἔννοιαν λαμβάνειν τῆς ἡμέρας ἐκείνης, καθ' ἣν ἀνοιγήσονται μὲν οἱ
οὐρανοί, ἐπιφανήσεται δὲ ἡμῖν ὁ κριτὴς ἐξ οὐρανῶν, καὶ σάλπιγγες
Θεοῦ, καὶ ἀνάστασις νεκρῶν, καὶ κρίσις δικαία, καὶ ἀντίδοσις ἑκάστῳ
κατὰ τὸ ἔργον αὐτοῦ. ἀντὶ τοῦ ταῦτα ἔχειν ἐν τοῖς διαλογισμοῖς, καὶ
καθαίρειν μὲν ἑαυτῶν τὰς καρδίας ἀπὸ πονηρῶν ἐνθυμήσεων, ἐξα-
λείφειν δὲ τοῖς δάκρυσι τὰ προημαρτημένα, ἑτοιμάζεσθαι δὲ πρὸς τὴν
ἀπάντησιν τοῦ Χριστοῦ κατὰ τὴν μεγάλην ἡμέραν τῆς ἐπιφανείας αὐτοῦ,
ἀποσεισάμεναι τὸν ζυγὸν τῆς δουλείας τοῦ Χριστοῦ, ῥίψασαι ἀπὸ τῶν κεφα-
λῶν τὰ τῆς εὐσχημοσύνης καλύμματα, καταφρονήσασαι τοῦ Θεοῦ, κα-
ταφρονήσασαι τῶν ἀγγέλων αὐτοῦ, καταναισχυντήσασαι πάσης ἄρ-
ρενος ὄψεως, σοβοῦσαι τὰς κόμας, σύρουσαι τοὺς χιτῶνας, καὶ τοῖς
ποσὶν ἅμα παίζουσαι, ὀφθαλμῷ ἀσελγεῖ, γέλωτι ἐκκεχυμένῳ,
πρὸς ὄρχησιν ἐκμανεῖσαι, πᾶσαν νέων ἀκολασίαν ἐφ' ἑαυτὰς προσ-
καλούμεναι, ἐν τοῖς πρὸ τῆς πόλεως μαρτυρίοις χοροὺς συστησάμεναι,
ἐργαστήριον τῆς οἰκείας αὐτῶν ἀσχημοσύνης, τοὺς ἡγιασμένους τόπους πε-
ποίηνται, ἐμίαναν μὲν τὸν ἀέρα τοῖς ᾄσμασι τοῖς πορνικοῖς, ἐμίαναν δὲ τὴν
γῆν τοῖς ἀκαθάρτοις ποσίν, ἣν ἐν ταῖς ὀρχήσεσι κατεκρότησαν, θέα-
τρον ἑαυταῖς νεανίσκων ὄχλον περιστησάμεναι, σοβάδες ὄντως καὶ παρά-
φοροι παντελῶς, μανίας οὐδεμίαν ὑπερβολὴν ἀπολείπουσαι. Ταῦτα
πῶς μὲν σιωπήσω; πῶς δὲ κατ' ἀξίαν ὀδύρωμαι; οἶνος ἡμῖν τῶν ψυχῶν
τούτων τὴν ζημίαν ἐποίησεν. οἶνος, τὸ παρὰ τοῦ Θεοῦ δῶρον εἰς παραμυθίαν
τῆς ἀσθενείας δεδομένον τοῖς σωφρονοῦσιν, ὅπλον δὲ νῦν γενόμενον ἀκο-
λασίας τοῖς ἀσελγαίνουσι. μέθη, ὁ αὐθαίρετος δαίμων, ἐξ ἡδονῆς ταῖς
ψυχαῖς ἐμβαλλόμενος. μέθη, κακίας μήτηρ, ἀρετῆς ἐναντίωσις, τὸν ἀν-

δρεῖον

θρεῖον δειλὸν ἀποδείκνυσι, τὸν σώφρονα ἀσελγῆ, δικαιοσύνην οὐκ οἶδεν, φρόνησιν ἀναιρεῖ. ὥσπερ γὰρ ὕδωρ πολέμιόν ἐστι πυρί, οὕτως ἀμετρία οἴνου λογισμὸν κατασβέννυσι. διόπερ ὀκνοῦν τι λέγειν κατὰ τῆς μέθης, οὐχ ὡς περὶ μικροῦ τινος κακοῦ ἢ παροφθῆναι ἀξίου, ἀλλ' ὡς οὐδὲν ὄφελος παρεχομένου τοῦ λόγου. εἰ γὰρ ὁ μεθύων παραφρονεῖ καὶ ἐσκότωται, εἰκῆ ῥαψῳδεῖ ὁ ἐπιπλήττων τῷ μὴ ἀκούοντι. τίσιν οὖν διαλεχθῶμεν, εἴπερ ὁ μὲν χρήζων τῆς παραινέσεως οὐκ ἀκούει τῶν λεγομένων; ὁ δὲ σωφρονῶν καὶ νήφων οὐ δεῖται τῆς ἐκ τοῦ λόγου βοηθείας, καθαρεύων τοῦ πάθους. Τί οὖν χρήσομαι τοῖς παροῦσιν, εἰ καὶ ὁ λόγος ἄχρηστος καὶ ἡ σιωπὴ ἄπορος; παρίδωμεν τὴν ἐπιμέλειαν; ἀλλ' ἐπικίνδυνος ἡ ἀμέλεια. ἀλλὰ φθέγξομαί κατά τι τῶν μεθυόντων; ἀλλ' εἰς νεκρὰς ἀκοὰς ἐνηχοῦμεν. μή ποτε οὖν ὡς ἐπὶ τῶν λοιμικῶν νοσημάτων οἱ τῶν σωμάτων θεραπευταί, τοὺς μὲν ὑγιαίνοντας τοῖς προφυλακτικοῖς βοηθήμασιν ἀσφαλίζονται, τοῖς δὲ κεκρατημένοις ὑπὸ τοῦ πάθους οὐκ ἐγχειροῦσιν, οὕτω καὶ ἡμῖν ἐξ ἡμισείας ἔχῃ ὁ λόγος τὸ χρήσιμον, φυλακὴν ὑποδεικνὺς τοῖς ἀπαθέσιν, οὐκ ἀπαλλαγὴν καὶ ἴασιν τοῖς ὑπὸ τοῦ πάθους κεκρατημένοις. τίνι διενήνοχας τῶν ἀλόγων ὦ ἄνθρωπε; οὐ τῇ δωρεᾷ τοῦ λόγου, ἣν παραλαβὼν παρὰ τοῦ κτίσαντός σε, ἄρχων καὶ κύριος ἐγένου πάσης τῆς κτίσεως; ὁ τοίνυν ἀφελόμενος ἑαυτοῦ τὴν φρόνησιν διὰ τῆς μέθης, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς. μᾶλλον δὲ καὶ τῶν βοσκημάτων φαίην ἂν ἔγωγε ἀλογωτέρους εἶναι τοὺς ἐν τῇ μέθῃ. εἴπερ τὰ μὲν τετράποδα πάντα καὶ τὰ θηρία, τεταγμένας ἔχει τὰς πρὸς τὴν μῖξιν ὁρμάς, οἱ δὲ ὑπὸ τῆς μέθης τὴν ψυχὴν κατεχόμενοι, καὶ τὸ σῶμα τῆς παρὰ φύσιν θερμότητος ἀναπλήσαντες, πάντα καιρὸν καὶ πᾶσαν ὥραν πρὸς τὰς ἀκαθάρτους καὶ ἀσχήμονας συμπλοκὰς συνελαύνονται. καὶ οὐ τοῦτο μόνον τὴν ἀλογίαν αὐτοῖς ἐμποιεῖ, ἀλλὰ καὶ ἡ τῶν αἰσθήσεων παρατροπὴ χείρονα παντὸς κτήνους ἀποδείκνυσι τὸν μεθύοντα. Ποῖον γὰρ βόσκημα οὕτω παραβλέπει καὶ οὕτω παρακούει, ὡς ὁ μεθύων; οὐκ ἀγνοοῦσι μὲν τοὺς οἰκειοτάτους, προστρέχουσι δὲ πολλάκις τοῖς ἀλλοτρίοις ὡς τοῖς συνήθεσιν; οὐ τὰς σκιὰς διαπηδῶσι πολλάκις ὡς ὀχετοὺς ἢ φάραγγας; ἤχων δὲ αὐ-

τοῖς

τοῖς καὶ ψόφων οἱονεὶ θαλάσσης κυμαινούσης τὰ ὦτα πεπλήρωνται. Ἡ δὲ γῆ πρὸς τὸ ὄρθιον διανίστασθαι δοκεῖ, καὶ τὰ ὄρη περιτρέχειν ἐν κύκλῳ. ἔτι ποτὲ μὲν γελῶσιν ἄπαυστα, ποτὲ δὲ ὀδυρῶνται καὶ κλαίουσιν ἀπαρηγόρητα. καὶ νῦν μὲν θρασεῖς εἰσι καὶ ἀπτόητοι, νῦν δὲ κατάφοβοι καὶ δειλοί. τούτοις ὕπνοι μὲν βαρεῖς καὶ δυσανάφοροι καὶ πνιγώδεις, καὶ τῷ ὄντι θανάτου γείτονες, αἱ δὲ ἐγρηγόρσεις τῶν ὕπνων ἀναισθητότεραι. ἐνύπνιον γὰρ αὐτοῖς ἐστὶν ὁ βίος, οἵ γε ἱμάτιον οὐκ ἔχοντες, οὐδὲ ἵνα φάγωσιν εἰς τὴν αὔριον, βασιλεύουσι καὶ στρατοπέδων ἄρχουσιν ἐν τῇ μέθῃ, καὶ πόλεις οἰκοδομοῦσι, καὶ χρήματα διανέμουσι. Τοιούτων φαντασιῶν καὶ ἀπάτης τοσαύτης περιζέων ὁ οἶνος τὰς καρδίας αὐτῶν πληροῖ. ἕτεροι δὲ εἰς τὰ ἐναντία περιάγονται πάθη, δυσέλπιδές εἰσι, καὶ κατηφεῖς καὶ ὀδυνηροὶ, καὶ δακρυώδεις καὶ ψοφοδεεῖς, καὶ εὐπτόητοι. ὁ αὐτὸς οἶνος ἐν διαφόροις σωμάτων ἕξεσι, διάφορα τὰ πάθη ταῖς ψυχαῖς ἐργαζόμενος. οἷς μὲν γὰρ ἂν διάχυσιν τοῦ αἵματος ἐμποιήσας πρὸς τὴν ἐπιφάνειαν ἐξανθίσῃ, φαιδροὺς καὶ ἡδεῖς καὶ γεγανωμένους αὐτοὺς ἀποδείκνυσιν. ὧν δ᾽ ἂν ὑπὸ τοῦ βάρους καταπλήσῃ τὴν ἕξιν, συστέλλων αὐτῶν καὶ καταπιέζων τὸ αἷμα, πρὸς τὴν ἐναντίαν αὐτοὺς περιάγει διάθεσιν. καὶ τί δεῖ λέγειν τῶν λοιπῶν παθῶν τὸν ὄχλον; τὰς δυσκολίας τοῦ ἤθους, τὸ εὐπαρόξυντον, τὸ μεμψίμοιρον, τὸ ὀξύρροπον τῆς ψυχῆς, τὴν κραυγὴν, τὸν θόρυβον, τὸ πρὸς πᾶσαν ἀπάτην εὐπαράγωγον, τὸ πρὸς τὰς ὀργὰς ἀταμίευτον. ἡ δὲ πρὸς τὰς ἡδονὰς ἀκρασία, ἄντικρυς ὥσπερ ἐκ πηγῆς τοῦ οἴνου φέρεται, καὶ συνεισπίπτει τῷ ἀκράτῳ, τῆς ἀσελγείας ἡ νόσος, πάντων βοσκημάτων μανίαν ἐπὶ τὸ θῆλυ, δευτέραν τῆς τῶν μεθυόντων ὕβρεως ἀποφαίνουσα. εἴπερ τὰ μὲν ἄλογα γνωρίζει τοὺς ὅρους τῆς φύσεως, οἱ δὲ μεθύοντες ἐν ἄρρενι μὲν τὸ θῆλυ, ἐν δὲ τῷ θήλει τὸ ἄρρεν ἐπιζητοῦσιν. οὐ δὲ ἐπεξελθεῖν τῷ λόγῳ ῥᾴδιον πᾶσι τοῖς ἐκ τῆς μέθης δεινοῖς. Αἱ μὲν οὖν ἐκ τοῦ λοιμοῦ βλάβαι χρόνῳ ἐγγίνονται τοῖς ἀνθρώποις, κατὰ μικρὸν τοῦ ἀέρος τὴν παρ᾽ ἑαυτοῦ φθορὰν ἐνιθέντος τοῖς σώμασιν, αἱ δὲ παρὰ τοῦ οἴνου, εὐθὺς συνεισπίπτουσιν. οὕτω γὰρ τὴν ψυχὴν ἀπολωλότες ὡς ὑπὸ πάσης κηλῖδος εἶναι κατεστιγμένοι, ἔτι καὶ αὐτὴν τοῦ σώματος τὴν ἕξιν περιδιαφθείρονται,

ρονται, οὐ μόνον τῇ ὑπερβολῇ τῶν ἡδονῶν ἐξοιστρουσῶν ἐπὶ λαγνείας ἐκτετηκότες καὶ διαρρέοντες, ἀλλὰ καὶ αὐτῷ τῷ ὄγκῳ πεπλαδηκὸς καὶ βρυῶδες καὶ τοῦ ζωτικοῦ τόνου λελυμένον τὸ σῶμα φέροντες. Τούτων πελιδνοὶ οἱ ὀφθαλμοὶ, ὕπωχρος δὲ ἡ ἐπιφάνεια, πνεῦμα παρειηκὸς, γλῶσσα παρειμένη, καὶ κραυγὴ ἄσημος, ἀκροσφαλεῖς οἱ πόδες καθάπερ οἱ τῶν παίδων, ἐκκρίσεις δὲ τῶν περιττωμάτων αὐτόματοι, ὥσπερ ἀπὸ ἀψύχων ῥέουσαι. Ἐλεεινοὶ τῆς τρυφῆς, ἐλεεινότεροι τῶν ἐν πελάγει χειμαζομένων, οὓς ἄλλα ἐξ ἄλλων διαδεχόμενα καὶ ἐπιβαπτίζοντα κύματα ἀναφέρειν οὐκ ἐπιτρέπει τοῦ κλύδωνος. οὕτω δὴ καὶ τούτων αἱ ψυχαὶ ὑποβρύχιοι φέρονται, βεβαπτισμέναι τῷ οἴνῳ. διόπερ ὡς τὰ χειμαζόμενα πλοῖα ἐπειδὰν ὑπέραντλα γένηται, ἀναγκαίως τῇ ἐκβολῇ τοῦ φόρτου κουφίζεται, οὕτω καὶ τούτοις ἀναγκαῖαι τῶν βαρυνόντων αἱ ἀποθέσεις. ἐμοῦντες γὰρ καὶ ἀποβλύζοντες μόλις ἐλευθεροῦνται τοῦ βάρους. Τοσοῦτον τῶν δυσπλοούντων ἐλεεινότεροι, ὅσον οἱ μὲν ἀνέμους καὶ θάλασσαν, καὶ τὰς ἔξωθεν ἀνάγκας ἐπαιτιῶνται. Οἱ δὲ αὐθαίρετον ἐπισπῶνται τὸν ἐκ τῆς μέθης χειμῶνα. Ὁ δαιμονῶν, ἐλεεινὸς, ὁ δὲ μεθύων, τὰ αὐτὰ πάσχων, οὐδὲ τοῦ ἐλεεῖσθαι ἄξιος, αὐθαιρέτῳ δαίμονι προσπαλαίων. Οἳ καὶ μέθης συντιθέασι φάρμακα, οὐχὶ τὸ μὴ παθεῖν τι δεινὸν ἀπὸ τοῦ οἴνου, ἀλλὰ τὸ μὴ διαλείπειν μεθύοντες μηχανώμενοι. Ὀλίγη μὲν γὰρ αὐτοῖς ἡ ἡμέρα, μικρὰ δὲ ἡ νὺξ καὶ ἡ χειμέριος, πρός γε τὸν τοῦ πότου χρόνον. Τέλος δὲ οὐκ ἔστι τοῦ κακοῦ. αὐτοὺς γὰρ ἑαυτὸν ὁ οἶνος ἐπὶ τὸ πλεῖον προάγει. οὐ γὰρ τὴν χρείαν παραμυθεῖται, ἀλλ᾽ ἑτέρου πότου χρείαν ἀπαραίτητον ἐμποιεῖ, ἐκκαίων τοὺς μεθύοντας, καὶ ἀεὶ πρὸς τὴν τοῦ πλείονος ἔφεσιν προκαλούμενος. ἀπλήρωτον δὲ τοῦ πίνειν τὴν ὄρεξιν ἔχειν ἐπινοοῦντες, τὸ ἐναντίον πάσχουσιν ἢ προῄρηνται. τῷ γὰρ συνεχεῖ τῆς τρυφῆς τὰς αἰσθήσεις ἀπομαραίνουσιν. ὡς γὰρ τὸ ἄγαν λαμπρὸν ἀμαυροῖ τὰς ὄψεις, καὶ ὥσπερ οἱ τοῖς μεγάλοις ψόφοις κατακρουόμενοι, τῇ ἀμετρίᾳ τῆς πληγῆς εἰς τὸ μηδὲ ἀκούειν παντελῶς περιάγονται, οὕτω καὶ οὗτοι λελήθασιν ἑαυτοὺς ὑπὸ τῆς ἄγαν φιληδονίας, τὴν ἡδονὴν ἀπολέσαντες. ἄποιος μὲν γὰρ αὐτοῖς καὶ ὑδατώδης ὁ οἶνος, κἂν ἄκρατος ᾖ, χλιαρὰ δὲ τοῦ νεαροῦ ἡ ἀντίληψις, κἂν τὸ ἀκραιφνέστατον ᾖ, κἂν αὐτὴ χιὼν κατασβέ-

σαι τὴν ἔνδον ἐν αὐτοῖς ἐκ τῆς ἀμετρίας τοῦ οἴνου καιομένην φλόγα οὐ δύναται. τίνι οὐαί; τίνι θόρυβος; τίνι κρίσεις; τίνι ἀηδίαι καὶ λέσχαι; τίνι συντρίμματα διακενῆς; τίνος πελιδνοὶ οἱ ὀφθαλμοί; οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνῳ, καὶ κατασκοπούντων ποῦ πότοι γίνονται; τὸ οὐαί, θρηνῶδές ἐστιν ἐπίφθεγμα. θρήνου δὲ ἄξιοι οἱ μεθύοντες. διότι μέθυσοι βασιλείαν θεοῦ οὐ κληρονομήσουσι. θόρυβος δὲ, διὰ τὴν ἐκ τοῦ οἴνου ταραχὴν ἐγγινομένην τοῖς λογισμοῖς, καὶ ἀηδίαι, διὰ τὰς πικρὰς ἐκ τῆς τοῦ πίνειν ἡδονῆς ἀναδόσεις. τούτων γὰρ δεσμοῦνται μὲν οἱ πόδες, δεσμοῦνται δὲ χεῖρες ἐκ τῶν ἐπιπεμπομένων αὐτοῖς παρὰ τῆς μέθης ῥευμάτων. καίτοι καὶ πρὸ τούτων τῶν παθῶν, παρ' αὐτὸν τὸν καιρὸν τοῦ πίνειν, τὰ τῶν φρενιτικῶν αὐτοῖς συμπίπτει πάθη. ὅταν γὰρ πλήρεις αἱ μήνιγγες γένωνται τῆς αἰθάλης, ἣν ὁ οἶνος ἐξατμιζόμενος ἀναφέρει, βάλλεται μὲν ὀδύναις ἀφορήτοις ἡ κεφαλή, μένειν δὲ ὀρθὴ ἐπὶ τῶν ὤμων μὴ δυναμένη, ἄλλοτε ἐπ' ἄλλα καταπίπτει τοῖς σπονδύλοις ἐνολισθαίνουσα. λέσχην δὲ λέγει, τὴν ἄμετρον ἐν τοῖς συμποσίοις καὶ ἐμφιλόνεικον ὁμιλίαν. καὶ συντρίμματα διακενῆς γίνεται τοῖς οἰνόφλυξιν, οὐ δυναμένοις ὀρθοῦσθαι ὑπὸ τῆς μέθης. ἀνατρέπονται γὰρ εἰς παντοῖα πτωμάτων σχήματα. ὥστε ἀναγκαῖον αὐτοὺς ἐπὶ τοῦ σώματος συντρίμματα ἔχειν διακενῆς. ἀλλὰ τίς εἴπῃ ταῦτα τοῖς οἰνοπλῆξιν; καρηβαροῦσι γὰρ ἐκ τῆς κραιπάλης, νυστάζουσι, χασμῶνται, ἀχλὺν βλέπουσι, ναυτιῶσι. διὰ τοῦτο οὐκ ἀκούουσι τῶν διδασκάλων πολλαχόθεν αὐτοῖς ἐμβοώντων, μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία. καὶ πάλιν. ἀκόλαστον οἶνος, καὶ ὑβριστικὸν μέθη. ὧν παρακούοντες, αὐτόθεν ἔχουσι τὰς ἐπικαρπίας τῆς μέθης. οἰδαίνει μὲν γὰρ ὁ ὄγκος, ὀφθαλμοὶ δίυγροι, στόμα ξηρὸν καὶ διακαές. ὥσπερ γὰρ αἱ χαράδραι, ἕως μὲν ἂν αὐταῖς ἐπιρρέωσιν οἱ χείμαρροι, πλήρεις εἶναι δοκοῦσι, παρελθούσης δὲ τῆς πλημμύρας, ξηραὶ καταλείπονται, οὕτω καὶ τοῖς οἰνόφλυξι τὸ στόμα, ἐλλιμνάζοντος μὲν τοῦ οἴνου, πλῆρές ἐστί πως καὶ δίυγρον, μικρὸν δὲ παραδραμόντος, ξηρὸν καὶ ἄνικμον ἀπελέγχεται. παρασυρόμενον δὲ ἀεὶ καὶ κατακλυζόμενον τῇ ἀμετρίᾳ τοῦ οἴνου, καὶ τὴν ζωτικὴν ἰκμάδα προσαποβάλλει. Ποία γὰρ κατασκευὴ ἀνθρώπου οὕτω ἰσχυρά, ὥστε τοῖς

ὥστε τοῖς ἐκ τῆς μέθης κακοῖς ἀντέχειν; Τίς γὰρ μηχανὴ τὸ ἀεὶ θερμαινόμενον καὶ ἀεὶ διάβροχον τῷ οἴνῳ γινόμενον σῶμα, μὴ οὐχὶ ἔκλυτον καὶ ἐξίτηλον καὶ διεῤῥυηκὸς γενέσθαι; ἐντεῦθεν οἱ τρόμοι καὶ αἱ ἀσθένειαι. κοπτομένου γὰρ αὐτοῖς τοῦ πνεύματος ὑπὸ τῆς ἀμετρίας τοῦ οἴνου, καὶ τῶν νεύρων λυομένων τῆς συντονίας, ὁ κλόνος τῷ σύμπαντι ὄγκῳ τοῦ σώματος ἐπιγίνεται. Τί τὴν κατάραν τοῦ Κάϊν ἐπὶ σεαυτὸν ἐπισπᾶσαι, τρέμων καὶ περιφερόμενος διὰ παντὸς τοῦ βίου; οὐ γὰρ ἔχον τὸ σῶμα τὸ ἐκ τῆς φύσεως στηριγμὸν, ἀναγκαίως περιδονεῖται καὶ κατασείεται. μέχρι πότε οἶνος; μέχρι τίνος μέθη; κινδυνεύεις λοιπὸν βόρβορος εἶναι ἀντὶ ἀνθρώπου. οὕτως ὅλως ἀνεμίχθης τῷ οἴνῳ καὶ συγκατεσάπης αὐτῷ, ἐκ τῆς καθημερινῆς κραιπάλης οἴνου ἀπόζων καὶ τούτου διεφθαρμένου, ὥσπερ τῶν ἀγγείων τὰ ἀχρηστότατα. Τούτους Ἡσαΐας ὀδύρεται. οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωῒ καὶ τὸ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ. ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει. μετὰ γὰρ κιθάρας καὶ αὐλῶν τὸν οἶνον πίνουσι. τὰ δὲ ἔργα κυρίου οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσι. σίκερα, πᾶν τὸ δυνάμενον μέθην ἐμποιῆσαι πόμα, τοῖς Ἑβραίοις ὀνομάζειν σύνηθες. οἱ οὖν ἀρχομένης ἡμέρας περισκοποῦντες ποῦ πότοι γίνονται, καὶ οἰνοπώλια καὶ καπηλεῖα περιαθροῦντες, καὶ ἀλλήλους ἐπὶ τὸ πίνειν παραλαμβάνοντες, καὶ πᾶσαν τὴν ψυχῆς τὴν μέριμναν περὶ τὴν τῶν τοιούτων φροντίδα καταναλίσκοντες, οὗτοι ὑπὸ τοῦ προφήτου καταθρηνοῦνται, ὡς καιρὸν οὐδένα ἑαυτοῖς πρὸς τὴν τῶν θαυμασίων τοῦ θεοῦ κατανόησιν ἀπολείποντες. οὐ γὰρ ἄγουσι σχολὴν οἱ ὀφθαλμοὶ αὐτῶν ἀνανεῦσαι πρὸς οὐρανὸν καὶ τὰ ἐν αὐτῷ κάλλη καταμαθεῖν, καὶ πᾶσαν τὴν ἐν τοῖς οὖσι διακόσμησιν ἐπισκέψασθαι, ὥστε ἐκ τῆς τούτων εὐταξίας τὸν δημιουργὸν ἐννοῆσαι. ἀλλ' εὐθὺς ἀρχομένης ἡμέρας, κοσμοῦσιν ἑαυτῶν τὰ συμπόσια τάπησι ποικίλοις καὶ ἀνθινοῖς παραπετάσμασι, σπουδήν τε καὶ ἐπιμέλειαν εἰς τὴν τῶν ἐκπωμάτων παρασκευὴν ἐπιδείκνυνται, ψυκτῆρας καὶ κρατῆρας καὶ φιάλας, ὡς ἐν πομπῇ τινὶ καὶ πανηγύρει διατιθέντες, ὡς ἂν τὸ τῶν ἀγγείων διάφορον τὸν κόρον αὐτοῖς ὑποκλέπτῃ, καὶ ἡ τῶν ἐκπωμάτων ὑπαλλαγὴ καὶ μετάβασις, ἱκανὴν αὐτοῖς εἰς τὸ πίνειν διατριβὴν ἐμποιῇ. συμποσίαρχοι δέ τινες ἐπὶ τούτοις καὶ ἀρχιοινοχόοι, καὶ ἀρχιτρίκλινοι, καὶ τάξις ἐν

ἀταξία, καὶ διάθεσις ἐν ἀκόσμῳ πράγματι ἐπινενόηται), ἵν' ὥσπερ
ταῖς ἀρχαῖς ταῖς ἔξωθεν ἐκ τῶν δορυφορούντων ἡ σεμνότης συναύξε-
ται, οὕτω καὶ τῇ μέθῃ οἷον βασιλίδι τινὶ θεραπείαν περιστήσαντες, τὸ
ἐπονείδιστον αὐτῆς τῷ ὑπερβάλλοντι τῆς σπουδῆς περιστέλλωσι. στέφανοι
ἐπὶ τούτοις καὶ ἄνθη καὶ μύρα καὶ θυμιάματα, καὶ μυρίαι τινὲς ἔξωθεν
θυμηδίαι, πλείονα τὴν ἀσχολίαν τοῖς ἀπολλυμένοις παρασκευάζουσιν.
εἶτα πόρρω προϊόντος τοῦ πότου, ἅμιλλαι περὶ τοῦ πλείονος, φιλονει-
κίαι καὶ ἀγωνίσματα, ἀλλήλους ὑπερβάλλεσθαι φιλοτιμουμένων κα-
τὰ τὴν μέθην. καὶ ὁ ἀγωνοθέτης αὐτοῖς, ὁ διάβολος, καὶ ἆθλον τῆς νίκης,
ἡ ἁμαρτία. ὁ γὰρ πλείονα τοῦ ἀκράτου ἐγχεάμενος, οὗτος φέρεται
κατὰ τῶν ἄλλων τὰ νικητήρια. ὄντως ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν. φι-
λονεικοῦσι μὲν γὰρ ἀλλήλοις, ἀμύνονται δὲ ἑαυτούς. Ποῖος λόγος ἐφι-
κέσθαι τῆς αἰσχρότητος τῶν γινομένων δύναται; Πάντα ἀλογίας γέμει,
πάντα συγχύσεως. οἱ ἡττηθέντες μεθύουσιν, οἱ νικῶντες μεθύουσιν, οἱ
ὑπηρέται καταγελῶσιν. ἡ χεὶρ ἀπείρηκε, τὸ στόμα οὐχ ὑποδέχεται,
ἡ γαστὴρ διαρρήγνυται, καὶ τὸ κακὸν οὐχ ὑφίησι. τὸ ἄθλιον σῶμα, τοῦ
φυσικοῦ τόνου παραλυθὲν ἀπόρρυτόν ἐστι πανταχόθεν, τὴν ἐκ τῆς ἀμετρίας
βίαν μὴ ὑπομένον. ἐλεεινὸν θέαμα χριστιανῶν ὀφθαλμοῖς. ἀνὴρ
ἀκμάζων καθ' ἡλικίαν, σφριγῶν τῷ σώματι, στρατιωτικοῖς κατα-
λόγοις ἐμπρέπων, φοράδην οἴκαδε κομιζόμενος, μὴ δυνάμενος
ὀρθοῦσθαι, μηδὲ τοῖς ἰδίοις ποσὶν ἀπιέναι. ἀνὴρ φοβερὸς εἶναι ὀφείλων
τοῖς πολεμίοις, γέλωτός ἐστιν ἀφορμὴ τοῖς κατ' ἀγορὰν παιδίοις, ἄνευ
σιδήρου καταβέβληται, ἄνευ πολεμίων πεφόνευται. ἀνὴρ ὁπλίτης,
αὐτὸ τῆς ἡλικίας ἄγων τὸ ἄνθος, οἴνου γέγονε παρανάλωμα, ἕτοιμος
παθεῖν τοῖς ἐχθροῖς, ὅσα βούλονται. μέθη, λογισμῶν ὄλεθρος, ἰσχύος
διαφθορά, γῆρας ἄωρον, ὀλιγοχρόνιος θάνατος. τί γὰρ ἄλλο εἰσὶν
οἱ μεθύοντες, ἢ τὰ εἴδωλα τῶν ἐθνῶν. ὀφθαλμοὺς ἔχουσι, καὶ οὐ βλέπου-
σι, ὦτα ἔχουσι, καὶ οὐκ ἀκούουσι, χεῖρες παραλέλυνται, οἱ πόδες ἀπε-
νεκρώθησαν. Τίς ὁ ταῦτα ἐπιβουλεύσας; τίς ὁ τῶν κακῶν τούτων αἴτιος;
τίς ὁ τὸ τῆς μανίας ἡμῖν φάρμακον ἐγκεράσας; ἄνθρωπε παράτα-
ξιν ἐποίησας τὸ συμπόσιον, ἐκβάλλεις τοὺς νεανίσκους χειραγωγουμέ-
νους, ὡς τραυματίας ἀπὸ πολέμου, ἐνέκρωσας τὴν ἀκμὴν τῆς νεότητος.

ἀπὸ

ἀπὸ οἴνου, καὶ καλεῖς μὲν ὡς φίλον ἐπὶ τὸ δεῖπνον, ἐκβάλλεις δὲ νεκρὸν, οἴνῳ τὴν ζωὴν αὐτοῦ κατασβέσας. ὅταν δὲ νομισθῶσι διακορεῖς εἶναι τοῦ οἴνου, τότε τοῦ πίνειν ἄρχονται, καὶ πίνουσι τὸν τῶν κτηνῶν τρόπον, ὡς ἀπὸ κρήνης αὐτοσχεδίου, ἰσαρίθμους τοῖς ἀνακειμένοις τοὺς κρουνοὺς ἀφιείσης. προϊόντος γὰρ ἤδη τοῦ πότου, ἐπεισέρχεταί τις αὐτοῖς νεανίας, γενναῖος τοὺς ὤμους, οὔπω μεθύων, φιάλην φέρων εὐμεγέθη οἴνου κατεψυγμένου, ὃς τὸν οἰνοχόον αὐτῶν παρωσάμενος, καὶ στὰς εἰς τὸ μέσον, διὰ σκολιῶν σωλήνων, ἴσην τοῖς συμπόταις διανέμει τὴν μέθην. καινὸν τοῦτο τῆς ἀμετρίας τὸ μέτρον, ἵνα κατ' ἰσομοιρίαν ἀλλήλοις συνασελγαίνωσι, μηδένα ὑπερβάλλειν ἐν τῷ πίνειν τὸν ἕτερον. διελόμενοι γὰρ τὰς ὑδρορρόας, καὶ τὴν πρὸς ἑαυτὴν ἕκαστος τετραμμένην ὑποδεξάμενοι, ὥσπερ ἀπὸ τινος δεξαμενῆς ἀπνευστὶ πίνουσιν ὡς οἱ βόες, τοσοῦτον ὑφέλκειν ἐπειγόμενοι τοῖς λαιμοῖς, ὅσον αὐτοῖς ὁ ψυκτὴρ διὰ τῶν ἀργυρέων ὀχετῶν ἐπαφίησι. κατάκυψον σου πρὸς τὴν ἀθλίαν γαστέρα, κατάμαθε τοῦ ὑποδεχομένου ἀγγείου τὸ μέγεθος, ὅτι μιᾶς κοτύλης ἔχει κοιλότητα. μὴ πρὸς τὴν οἰνοχόην ἀφόρα ποτὲ κενώσῃς, ἀλλὰ πρὸς τὴν σεαυτοῦ κοιλίαν ὅτι πάλαι πεπλήρωται. διὰ τοῦτο οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωῒ καὶ τὸ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψὲ καὶ διημερεύοντες ἐν τῇ μέθῃ, ὡς μηδένα καιρὸν ἑαυτοῖς παρέχειν εἰς τὸ τὰ ἔργα κυρίου ἐμβλέπειν, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ κατανοεῖν. ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει, διότι τὸ ἐκ τοῦ οἴνου θερμὸν, ἐγγινόμενον τῇ σαρκὶ, ἔξαμμα γίνεται τῶν πεπυρωμένων βελῶν τοῦ ἐχθροῦ. τὸν μὲν γὰρ λογισμὸν καὶ τὸν νοῦν ὁ οἶνος καταβαπτίζει, τὰ δὲ πάθη καὶ τὰς ἡδονὰς ὥσπερ τι σμῆνος μελισσῶν ἐπεγείρει. ποῖον γὰρ ἅρμα πώλων οὕτως ἀτάκτως φέρεται ἀποβαλὸν τὸν ἡνίοχον; ποῖον δὲ πλοῖον ἀκυβέρνητον ὑπὸ τῶν κυμάτων ὡς ἂν τύχῃ φερόμενον, οὐκ ἀσφαλέστερόν ἐστι τοῦ μεθύοντος; ἀπὸ τοιούτων κακῶν, ἄνδρες ὁμοῦ καὶ γυναῖκες κοινοὺς συστησάμενοι χοροὺς, δαίμονι οἰνηρῷ τὰς ψυχὰς παραδόντες, ἀλλήλους ταῖς ἀκίσι τῶν παθῶν ἀντετίτρωσκον. γέλωτες παρ' ἀμφοτέρων, ᾄσματα αἰσχρὰ, σχήματα πορνικὰ, ἐρεθίζοντα πρὸς ἀσέλγειαν. γελᾷς εἰπέ μοι, καὶ τέρπῃ τέρψιν ἀκόλαστον; δακρύειν δέον καὶ στένειν ἐπὶ τοῖς φθάσασιν. ᾄσματα πόρνης φθέγγῃ, ἐκβαλὼν τοὺς

ψαλμοὺς καὶ τοὺς ὕμνους οὓς ἐδιδάχθης; κινεῖς πόδας καὶ ἐξάλλῃ ἐμμανῶς καὶ χορεύεις ἀχόρευτα; δέον τὰ γόνατα κάμπτειν εἰς τὴν προσκύνησιν. Τίνας ὀδύρωμαι; τὰς κόρας τὰς ἀπειρογάμους, ἢ τὰς ἐν τῷ ζυγῷ τοῦ γάμου κατεχομένας; αἱ μὲν γὰρ ἐπανῆλθον, τὴν παρθενίαν οὐκ ἔχουσαι, αἱ δὲ τὴν σωφροσύνην τοῖς ἀνδράσιν οὐκ ἐπανήγαγον. εἰ γάρ πού τινες καὶ τῷ σώματι τὴν ἁμαρτίαν διέφυγον, ἀλλὰ πάντως γε ταῖς ψυχαῖς τὴν φθορὰν ὑπεδέξαντο. ταῦτά μοι καὶ περὶ τῶν ἀῤῥένων εἰρήσθω. εἶδε κακῶς, ἐθεάθη κακῶς. ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν. εἰ αἱ ἀπὸ ταυτομάτου συντυχίαι τοῖς περιέργως κατασκοποῦσι τοσοῦτον ἔχουσι κίνδυνον, αἱ κατ᾽ ἐπιτήδευσιν ἀπαντήσεις, ὥστε ἰδεῖν γυναῖκας ἀσχημονούσας ὑπὸ τῆς μέθης, καὶ κατασχηματιζομένας πρὸς ἔκλυσιν, καὶ μέλη τεθρυμμένα ᾀδούσας, δυνάμενα καὶ μόνον ἀκουσθέντα πάντα οἶστρον ἡδονῆς ἐμποιῆσαι τοῖς ἀκολάστοις, τί ἐροῦσιν; ἢ τί ἀπολογήσονται, ἐκ τοιούτων θεαμάτων μυρίον ἑσμὸν τῶν κακῶν συλλεξάμενοι, οὐχ ὡς διὰ τοῦτο ἐμβλέψαντες, ἵνα τὰς ἐπιθυμίας ἐγείρωσιν; οὐκοῦν ὑπόδικοί εἰσι κατὰ τὴν ἀπαραίτητον ἀπόφασιν τοῦ κυρίου τῷ κρίματι τῆς μοιχείας. Πῶς ὑμᾶς ἡ πεντηκοστὴ ὑποδέξεται, οὕτω τοῦ πάσχα καθυβρισθέντος; ἡ πεντηκοστὴ τοῦ πνεύματος ἔχει τοῦ ἁγίου τὴν ἐναργῆ καὶ πᾶσι γνωρίμην ἐπιδημίαν. σὺ δὲ προλαβὼν, σεαυτὸν οἰκητήριον τοῦ ἀντικειμένου ἐποίησας πνεύματος, καὶ ἐγένου ναὸς εἰδώλων, ἀντὶ τοῦ γενέσθαι ναὸς θεοῦ διὰ τῆς ἐνοικήσεως τοῦ πνεύματος τοῦ ἁγίου. ἐπεσπάσω τὴν ἀρὰν τοῦ προφήτου εἰπόντος ἐκ προσώπου τοῦ θεοῦ, ὅτι στρέψω τὰς ἑορτὰς αὐτῶν εἰς πένθος. πῶς τοὺς οἰκέτας ἄρξετε, αὐτοὶ δουλεύοντες ἐπιθυμίαις ἀνοήτοις καὶ βλαβεραῖς ὡς ἀνδράποδα; πῶς τοὺς παῖδας νουθετήσετε, ἀνουθέτητον ζωὴν καὶ ἀδιάτακτον ζῶντες; τί οὖν, ἐν τούτοις ὑμᾶς καταλείπω; ἀλλὰ φοβοῦμαι, μή πως ὁ μὲν ἀνυπότακτος, ῥαθυμότερος γένηται, ὁ δὲ κατανενυγμένος, τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ. ἴαμα γάρ φησι, καταπαύσει ἁμαρτίας μεγάλας. ἡ νηστεία τὴν μέθην θεραπευσάτω, ψαλμὸς τὴν αἰσχρὰν μελῳδίαν, δάκρυον γενέσθω τοῦ γέλωτος ἴαμα, ἀντὶ τῆς ὀρχήσεως τὸ γόνυ κλινέσθω, ἀντὶ τοῦ κρότου τῶν χειρῶν τὸ στῆθος τυπτέσθω, ἀντὶ τοῦ

κόσμου

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-575937-p0036-3

κόσμου τῆς ἐσθῆτος ἡ ταπείνωσις, ἐπὶ πᾶσιν ἡ ἐλεημοσύνη ἐξαγοραζέτω σε ἀπὸ τῆς ἁμαρτίας. λύτρον γὰρ ἀνδρός, ὁ ἴδιος αὐτοῦ πλοῦτος. Πολλοὺς ἐργάτευσον τῶν θλιβομένων εἰς τὴν κοινωνίαν τῆς προσευχῆς, εἰ ἄρα σοι ἀφεθήσεται ἡ ἐπίνοια τῆς κακίας. ὅτε ἐκάθησεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν καὶ ἀνέστησαν παίζειν, ἡ δὲ παιδιὰ αὐτῶν εἰδωλολατρεία ἦν, τότε οἱ Λευῖται κατὰ τῶν ἀδελφῶν ἑαυτοὺς ἐξοπλίσαντες, εἰς ἱερουργίαν τὰς χεῖρας ἑαυτῶν ἐτελείωσαν. καὶ ὑμῖν τοίνυν τοῖς φοβουμένοις τὸν κύριον, ὅσοι νῦν ἐπεσυγνάσατε ἐπὶ τῇ ἀσχημοσύνῃ τῶν καταγνωσθέντων, ἐκεῖνο διαστελλόμεθα. ἐὰν μὲν ἴδητε οἰκτνοῦντας ἐπὶ τῇ ἀτοπίᾳ τῶν πεπραγμένων, συμπαθήσατε ὡς οἰκείοις μέλεσιν νενοσηκόσιν. ἐὰν δὲ ἀπαυθαδιαζομένους καὶ καταφρονοῦντας τῆς ἡμετέρας ἐπ' ἑαυτοῖς λύπης, ἐξέλθετε ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε, ἵνα οὕτως οἱ μὲν ἐντραπέντες, εἰς ἐπίγνωσιν ἔλθωσι τῆς οἰκείας κακίας, ὑμεῖς δὲ τοῦ ζήλου τοῦ Φινεὲς τὸν μισθὸν ὑποδέξησθε, διὰ τῆς δικαιοκρισίας τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων,

ἀμήν.

**Errat.**

*Pag. 2. lin. 17. pro* ἀπὸ τοῦ κόσμου τίθεσθαι: *scrib.* ἀπὸ τοῦ νόμου.

Kb 1298

ULB Halle 3
001 554 603

Sb

VD17

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-575937-p0039-3

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-575937-p0040-5

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

# ΒΑΣΙΛΕΙΟΥ

Ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας

## ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ

λόγοι β.

# S. BASILII MAGNI

*ORATIONES DVÆ*

*DE*

# IEIVNIO.

Τοῦ αὐτοῦ

## ΚΑΤΑ ΜΕΘΥΟΝΤΩΝ

ΟΜΙΛΙΑ.

*EIVSDEM*

## CONTRA EBRIOSOS

Homilia.

HELMAESTADI

*Ex Officina* IACOBI LVCII, *Typogr. acad.*

Anno cIↄ Iↄ c XXXIX.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-575937-p0041-0